# ΤΟ ΚΕΙΜΕΝΟΝ ΤΩΝ ΕΠΙΣΤΟΛΩΝ ΤΟΥ ΚΩΔΙΚΟΣ ΒΜ 36749

Εἰς δύο μελέτας, συγγραφείσας κατὰ τὴν ἰδίαν περίπου ἐποχήν, οἱ ὑπογράφοντες τὴν παροῦσαν ἐργασίαν εἴχομεν ἀσχοληθῆ, ἀνεξαρτήτως ἀλλήλων, μὲ τὴν συλλογὴν ἐπιστολῶν ἀνωνύμου λογίου τῶν μέσων περίπου τοῦ δεκάτου αἰῶνος, ἡ ὁποία διεσώθη εἰς τὸν κώδικα Add. 36749 τοῦ Βρεττανικοῦ Μουσείου [1]. Εἰς τὸ ἐπίμετρον τῶν δημοσιευμάτων μας ἕκαστος ἐξ ἡμῶν ἐδημοσίευσε καὶ μερικὰς ἐπιστολὰς ὡς χαρακτηριστικὸν δεῖγμα τοῦ ὕφους τοῦ περὶ οὗ ὁ λόγος συγγραφέως. Λόγῳ ὅμως τοῦ ἐνδιαφέροντος τὸ ὁποῖον προεκάλεσαν αἱ δύο ὡς ἄνω μελέται μας ἐνομίσαμεν ὅτι θὰ ἦτο χρήσιμος ἡ πλήρης ἔκδοσις ὅλων τῶν ἐπιστολῶν, εἴμεθα δὲ εὐγνώμονες πρὸς τὴν διεύθυνσιν τῆς Ἐπετηρίδος Ἑταιρείας Βυζαντινῶν Σπουδῶν διὰ τὴν πρόθυμον φιλοξενίαν τῆς παρούσης δημοσιεύσεως.

Ἐκ τῶν ἐνταῦθα δημοσιευομένων ἐπιστολῶν αἱ μὲν ὑπ' ἀριθ. 2 - 54(53) ἀντεγράφησαν ὑπὸ τοῦ Βασ Λαούρδα ἀπὸ φωτογραφίας τοῦ κώδικος, αἱ δὲ 55(54) - 122(130) ὑπὸ τοῦ Robert Browning ἀπὸ αὐτὸν τοῦτον τὸν κώδικα, ἔπειτα ὅμως τοῦ μὲν πρώτου αἱ ἀναγνώσεις ἠλέγχθησαν ὑπὸ τοῦ δευτέρου ἐπὶ τῇ βάσει τοῦ κώδικος, τοῦ δὲ δευτέρου ὁμοίως ὑπὸ τοῦ πρώτου ἐπὶ τῇ βάσει φωτογραφιῶν. Οὕτω ἐλπίζομεν ὅτι ἡ ἔκδοσις παρέχει ἀρκετὴν ἀσφάλειαν.

Διὰ νὰ ἀποφύγωμεν περιττὴν αὔξησιν ὄγκου, δὲν ἐπανεκδίδομεν τὰς ἤδη εἰς τὰς ὡς ἄνω δύο μελέτας δημοσιευθείσας ἐπιστολάς, παραπέμπομεν ὅμως εἰς τὰς σελίδας τῶν δύο περιοδικῶν, ὅπου ἐδημοσιεύθησαν, ὥστε ὁ ἐνδιαφερόμενος νὰ δύναται νὰ ἴδῃ καὶ αὐτάς. Ἐπειδὴ τὸ κείμενον ἔχει καταγραφῆ εἰς τὸν κώδικα μετὰ πολλῆς προσοχῆς, δὲν παρέστη ἀνάγκη πολλῶν διορθώσεων. Εἰς τὸ κριτικὸν ὑπόμνημα πάντως σημειοῦνται ὅλαι αἱ ἐπὶ τοῦ κώδικος ἐπενεχθεῖσαι ὑπὸ μεταγενεστέρας χειρὸς διορθώσεις ἢ ἀλλαγαί [2].

---

[1] Λαούρδα Βασ., Ἡ συλλογὴ ἐπιστολῶν τοῦ κώδικος BM, Add. 36749, «Ἀθηνᾶ», ΝΗ', 1954, 176 - 198. Browning R., The correspondence of a tenth century byzantine scolar, «Byzantion», 24, 1956, 397 - 452.

[2] Τὸν κώδικα δηλοῖ τὸ γράμμα A, τὸν δὲ διορθωτὴν ὁ $A^2$. Μερικὰς ἐκ τῶν διορθώσεών του τὰς ἐδέχθημεν εἰς τὸ κείμενον.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

Διὰ τὸν κώδικα, διὰ τὸν συγγραφέα καὶ διὰ τοὺς ἀποδέκτας τῶν ἐπιστολῶν θεωροῦμεν ἀρκετὰ ὅσα ἐγράφησαν ἤδη ὑπὸ τοῦ R. Browning καὶ διὰ τοῦτο δὲν κάμνομεν ἐνταῦθα λόγον περὶ αὐτῶν. Ἐπίσης δὲν ἀσχολούμεθα καὶ μὲ τὴν ἰδιαζόντως ἐνδιαφέρουσαν ἀρχαιομάθειαν τοῦ ἐπιστολογράφου, ἀρκούμενοι ἀφ' ἑνὸς μὲν εἰς ὅσα ἐπεσήμανεν ὁ Βασ. Λαούρδας καὶ ἀφ' ἑτέρου εἰς τὸ βραχὺ ὑπόμνημα ἐν κατακλεῖδι τῆς παρούσης δημοσιεύσεως, ἡ ὁποία ὡς μόνον σκοπὸν ἔχει νὰ παρουσιάσῃ τὸ κείμενον τῶν ἐπιστολῶν τοῦ ἀξιολόγου τούτου βυζαντινοῦ διανοουμένου.

ROBERT BROWNING - ΒΑΣ. ΛΑΟΥΡΔΑΣ

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

f. 135v *1. Ἀναστασίῳ μητροπολίτῃ Ἡρακλείας καὶ οἰκονόμῳ*[1].

*2. Μανουὴλ κουβουκλεισίῳ καὶ χαρτουλαρίῳ.*

*Ἡ κατάνευσις ἐχέτω καὶ τὴν κατάπραξιν, ἵνα μὴ ἀπάτη καὶ τὸ ὅλον ὑπόκρισις ἡ κατάνευσις ᾖ. τοῦτο δοξάσαντα ἄχρι τοῦ νῦν, οὐκ ἔγνωκά τινα* f. 136 *περὶ σοῦ, ἀλλ' οὐδ' ἡ ὑπόληψις ἔσχεν παρ' ὃ | εἶχεν ἡ ἡμετέρα τῷ ἐξ ἀρχῆς γνωρισμῷ. ἐπακολουθεῖ γὰρ τῷ θαυμασίῳ Μανουὴλ ἡ κατάπραξις τῶν καλῶν καὶ τὸ τῶν ἠθῶν μέτριον καὶ ἕψεται καὶ αὐτῆς μέχρι τῆς ἀπὸ τοῦ δεσμοῦ τῆς ψυχῆς διαζεύξεως, ὅτι πάλαι προσῆν καὶ οὐ νῦν ἐπεγένετο, κἂν οὐχ ὕφεσιν, ἀλλὰ πρόσθεσιν ἡ σήμερον ἡμέρα ποιῇ τοῦ καλοῦ. ἀλλ' ἐπεὶ τῆς δόξης ἔχει τι πλέον ἡ ἐξ ἔργων πληροφορία, δὸς τῇ ἐπὶ μικρᾷ χάριτι συναντιλήψει, οὐκ ἂν γὰρ εἴποις ὅτι μεγάλη, μεγάλα ὑπονοεῖν περὶ σοῦ.*

*3. Ἰωάννῃ χαρτουλαρίῳ καὶ κουβουκλεισίῳ.*

*Ἡ παιδεία τὴν πρὸς ὑμᾶς ἡμῖν παρρησίαν χαρίζεται, ὅτι μὴ τῶν ἀποθούντων παιδείαν ὑμεῖς· συνήθεις μὲν οὐκ ἔχων ἡμᾶς, μὴ ἀγνοουμένους σοι δέ, πρόσχες τῷ αἰτήματι μὴ ὄντι βαρεῖ καὶ ἀφορμὴν δίδου τῇ ἐκπληρώσει καὶ προσκολλᾶσθαί σοι καὶ συνομιλεῖν.*

*4. Θεοδώρῳ πρωτοσπαθαρίῳ.*

*Τότε κρίνονται αἱ μέχρι λόγων ὑποσχέσεις ἐκ βάσεων ἴσαι, ὅταν, συναντήσαν τι δυσχερὲς ἐπίσχῃ τοῦ καταθεμένου τὴν πρόθεσιν. ὅτε δὲ τὸ ἐπέχον |* f. 136v *ὁρᾶν οὐκ ἔστι τὴν ἔκβασιν, εἶτα μέχρις ἀναβολῶν ἡ χάρις παρατρέχει καὶ ὑπερθέσεων, τί ἄλλο ἢ ὀλιγωρίαν ἢ παρόρασιν τοῦτο ὑπονοεῖν ἐστὶ λοιπὸν τοῦ ὑπεσχημένου; ἀδυνατεῖν μὲν οὖν οὐκ ἂν εἴποις· προφανὴς γὰρ ἡ δύναμις εἰπεῖν· οὐκ εἰ ἀκουσθῆναι δὲ προφασίσῃ, ψεύσῃ· πρὸς πατέρα γὰρ ἡ αἴτησις, υἱῷ φιλοῦντι χαρίζεσθαι· ἀντιπίπτειν τι τὸν εἰς ὃν ἀνήκει φήσεις τὸ πρᾶγμα; ἀσθενὴς ἡ ἀντίθεσις· δεῖ γὰρ ἀντιπεσεῖν καὶ σὲ καὶ οὐχ ἧττω τῶν ἀντιρρήσεων ἐκείνου ὀφθῆναι· ἀλλ' εὔλογοι αἱ ἀντιρρήσεις ἐκείνου· τί δέ; αἱ σαὶ ἄλογοι; καὶ πῶς τῆς σῆς ἀγχινοίας τοῦτο, προτιμᾶν ἄνθρωπον θεοῦ καὶ ἀκαίρων εἶναι λόγων ἀκροατὴν καὶ μὴ ὅλῃ δυνάμει ἐπιδιδόναι σαυτὸν τὰ πρὸς θεραπείαν πράττειν θεοῦ; θεραπείαν γὰρ συνείποις καὶ αὐτὸς τοῦτο θεοῦ, κἂν ἡμεῖς οἱ πρεσβεύοντες· ἔχεις οὖν καὶ τὸ πρεσβεύειν ὑπόχρεων πρόσωπον καὶ τὸ πρὸς ὃ ἡ πρεσβεία πειθόμενον καὶ τὸ δι' ὃ ἡ πρεσβεία* f. 137 *θεόν σοι ποιοῦν εὐμενῆ καὶ τὸ ἐκπληρῶσον τὴν πρεσβείαν εἶκον | ὡς ὑπο-*

---

14 *ἡμᾶς* A² *ὑμᾶς* A 23 *ἀκοσθῆναι* cod. lacunam susp.

---

[1] « Byzantion », 24, 1954, 441.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*χείριον, τό τε πρᾶγμα καὶ ἄκοντά σε κινοῦν πρὸς παράκλησιν, συμπράττοντα δὲ καὶ τὸν καιρόν, δίδου διὰ πάντα τὴν χάριν θεῷ.*

**5. Θεοδότῳ κουβικουλαρίῳ.**

*Μεγάλην δοκιμάζων εἶναι τὴν τῆς καρδίας σου πρόθεσιν οὐχ οἷς ποιεῖς, ἀλλὰ μεθ' οἵας ὃ ποιεῖς τοῦτο γίνεται γνώμης, καὶ ὅτι τοιοῦτος αὐτὸς οἷον ἐξῆν εἶναι, καὶ ὅτι ἡ χάρις οὐ ῥυΐσκει διακενῆς, καρποῦμαι τὴν ἡδονήν· καὶ ὁ ταύτην ἐκκαρποῦσθαι ποιῶν σύ, δι' ὧν τε ἁπλοῦν σαυτὸν δεικνύεις καὶ οὐκ ἀχάριστον, δι' ὧν τε τὰ ἡμέτερα οὐκ εἰς ἀέρα χωροῦσι τῇ ἐπιμελείᾳ καὶ μεγαλοφυΐᾳ τῇ σῇ· διὰ τοῦτο γὰρ καὶ φιλοτιμούμενοι οὐ θέλομεν ἄχθεσθαι, ὅτις ἐποίει τῶν παλαιῶν, ἐπεὶ μὴ ὤνιά σοι τὰ καταβαλλόμενα λογίζεται παρ' ἡμῶν· λογισθήτω δὲ καὶ σοὶ τουτὶ τὸ βιβλιδάριον μνήμης ἄξιον ἡμέτερον ὄν, μήτε ὡς παρὰ διδάσκοντος σταλὲν οὐ παραδεχόμενος, δώσει γὰρ ἡμῖν ὁ καιρὸς σὺν ἐπιλήψει θεοῦ ἀφορμὴν ἑτέρων χαρίτων, μήτε ὡς γραφὴν ἄπταιστον οὐκ ἔχον ἀποπεμπόμενος, ἀπανθίσῃ γὰρ ἐξ αὐτοῦ φιλοπόνως συλ-*
f. 137v *λέγων | τὰ κάλλιστα καὶ παραβλάψει τὴν συλλογὴν κατ' οὐδὲν τὸ ἐπισφαλὲς τῆς γραφῆς. φιλοκάλους γὰρ ἡμᾶς, ἀλλ' οὐ φιλοκαλλωπιστὰς ὁ λόγος προτρέπεται.*

**6. Βασιλείῳ σπαθαρίῳ, κουβικουλαρίῳ.**

*Οὐχ ὅτι τῆς σχολῆς ἐξείργῃ φροντίζομεν, ἀλλ' ὅτι τὸ ἐξεῖργον ἀγνοοῦμεν, δακνόμεθα· ἐπὶ συμφέροντι γοῦν ἢ ἄλλως ἐπ' αἰτίᾳ εὐλόγῳ, ἀλλ' οὐκ ἐπ' ἀσυμφόρῳ ἢ παρενοχλοῦντι πάθει τὸ σῶμα ἡ ἐπίσχεσις οὖσα, τὸ τὴν ψυχὴν ὠθήσει λυποῦν· ἀλλὰ τὸ βαρῦνον ἀπίτω· τὸ κηλοῦν δὲ παρίτω τὴν ἀκοὴν καὶ ἀστατῶν ἠρεμήσει ὁ νοῦς, τὸ ἐπέχον οὐ πολυπραγμονῶν.*

**7. Φιλητᾷ διακόνῳ καὶ κουβουκλεισίῳ.**

*Τὸ κατεπεῖγον παρακαλεῖν οὐκ εἰς ἐμὴν ἀποτελεσθὲν γίνεται χάριν, ἵνα πρὸς τοῦτο κατανεύειν ὀκνήσῃς· σαυτῷ γὰρ πλέον ἢ ἐμοὶ χαριῇ· χαριῇ δὲ καὶ ἐμοὶ πρόξενον ἀποκαλῶν ἐμὲ τῆς ἀνηκούσης εἰς σὲ χάριτος· ἴδε οὖν τὸν ἄνθρωπον καὶ πρόσχες οἷς λέγει καὶ συνάλγησον οἷς συμπέπτωκεν καὶ ποιεῖν*
f. 138v *ἐκείνῳ αἱροῦ οἷς τῷ μὲν σώματος, σοὶ δὲ | ψυχῆς παράκλησις ἐξευρίσκεται.*

**8. Σοφίᾳ δεσποίνῃ[1].**

f. 138 **9. Στεφάνῳ πρωτοσπαθαρίῳ καὶ μαθητῇ.**

*Ἡ γραφὴ ἄλλων ἐζήτει λόγων ἀρχήν, ἄλλην δὲ παρέσχεν αὐτὴ ἡ ὑπό-*

---

51 *σχολῆς* $A^2$ *χολῆς* A

---

[1] « Byzantion », 24, 1954, 441.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*θεσις ἀφορμήν. ἐζήτει μὲν γὰρ πρόφασιν εὔλογον, δι᾿ ἧς ἔμελλε καὶ τῷ γράφοντι ἐμοὶ καὶ τῷ δεχομένῳ σοί, καὶ τοῖς ἀκούουσιν ἡδεῖα καὶ τῷ νῷ καὶ τῇ φράσει γενήσεσθαι· τῷ γράφοντι μέν, ὅτι πρὸς τοιοῦτον ποιεῖται τὰ τῆς γραφῆς, τῷ δεχομένῳ δέ, ὅτι τοσοῦτος περὶ τοσούτων ἀναπτύσσειν τοιαύτας γραφάς, τοῖς ἀκούουσι δέ, ὅτι περὶ χρηστῆς ἡ προσοχὴ ὑπολήψεως· καὶ ἵνα μὴ τὸ λεγόμενον ἀσαφὲς ᾖ, τοιαῦτα πρὸς σὲ λέγειν ἤθελεν ἡ γραφή, ἃ καὶ μεγάλην ἀπῄτει σπουδὴν καὶ τὴν ἐκ ταύτης ἔκβασιν οὐκ εἶχε μικράν· καὶ* f. 139 *τοῦτο μὲν ἐζήτει | καὶ περὶ τοιούτων παρεσκευάζετο, μάτην ὡς ἔοικε τοῦ ταύτης ὑπολογιζομένου δημιουργοῦ, ἕτοιμον εἰς πᾶν ὁτιοῦν κατὰ πολλὰς αἰτίας εὑρίσκειν σε· ὅτι τε διδάσκαλος, ὅτι τε νόμῳ καὶ ἔθει οὐ παρακρούεσθαι δίκαιος, καὶ ὅτι τῶν ἐμφρόνων, ἀλλ᾿ οὐχὶ τῶν οὐ τοιούτων σύ, καὶ τῶν εὐγενῶν καὶ χρηστῶν, ἀλλ᾿ οὐχὶ τῶν ἀγενῶν καὶ δόξης ἑτέρας· ἄλλη δέ τις ὑποδραμοῦσα χρεία κατακρατὴς ἐκείνης ἐγένετο καὶ πρὸς τὴν νῦν γραφὴν τὴν ἡμετέραν μᾶλλον ἐκίνησε χεῖρα ναρκῶσαν, ὅτι μὴ οἷς ἐν μελέτῃ ὁ νοῦς ἦν καθυπούργησεν, ἀλλ᾿ οἷς ἡ ψυχὴ ἐπαθαίνετο· καὶ τοῦ πάθους πρόξενος σύ, ἀφαιρεῖν ὀφείλων, φωραθεὶς προστιθέναι· τὸ πάθος δὲ λύπη, καὶ τὸ ταύτην αὖξον ὅτι ὁ καλὸς Στέφανος ἀλλ᾿ οὐχ ἕτερος ὁ λυπῶν· ἢ οὐκ οἴει λυπεῖν, μέρος οὐκ ἔχων λέγειν ὡς ἔδει χαρίτων ὄντας τοιούτους καὶ αὐτὸ τὸ ὀφειλόμενον ὃ καὶ ὁ τυχὼν καταβάλλει ὑποτελεῖν οὐκ ἐῶν, ἀλλὰ τὴν ὑπὲρ* f. 139v *τῆς μαθητείας ὑποτέμνων κατάθεσιν ἐπιτείνειν ὑπελογίσω | τὴν μαθητείαν· ἀλλ᾿ οὐκ οἶδα εἰ μαντεύσεται Φοῖβος ἄνευ χαλκοῦ, ἢ παρατάξεται στρατιώτης ὅπλων χωρίς, ἢ ἀποδύσεταί τις πρὸς δευτέρους ἀγῶνας μὴ τυχὼν ἀναρρήσεως· ὅτι μὲν οὖν ἀναλογίσῃ ταῦτα συνετὸς ὤν, οἶδα, καὶ ὅτι ἕψεται ἡ ὀφειλομένη οὐκ ἀμφιβάλλω κατάπραξις, ὅτι δὲ μειζόνων ἡμῖν ἢ νῦν ἢ εἰσαῦθις ἔσται ὑπόνοια, τοῦτο δυσπιστῶ.*

### 10. Μιχαὴλ πρωτοσπαθαρίῳ καὶ μεγάλῳ κουράτορι.

*Πρὸς γράμμασιν ἐντεθραμμένον ἦν ἡ ἐπιστολὴ καὶ οὕτω συνετέθη, ἵνα ὡς οἰκεῖος λόγων τοιούτων τὰ λόγου ἄξια πράττῃ. ἡ μέντοι δύναμις αὐτῆς παιδευτῶν κατηγόρει παρόρασιν καὶ θεραπείας τούτων ἄγνοιαν μὲν οὐχί, καταφανῆ γὰρ ἅπασι τὰ καλά, ὑπεροψίαν δέ· εἰ οὖν πᾶσιν ἐπίδηλα τὰ καλά, καὶ ὑμῖν· εἰ δὲ καὶ τισὶν ἐσπούδασται ποιεῖν τὸ καλόν, πρῶτοι τούτων ὑμεῖς· καὶ εἰ τοιοῦτοι, τὰ εἰκότα εἰς διδασκάλους ποιεῖτε· τῶν καλῶν γὰρ ἕν, μὴ λυπεῖν διδασκάλους.*

### 11. Στεφάνῳ πρωτοσπαθαρίῳ.

f. 140 *| Ἔγραψα τὸν χρηστὸν εἰδὼς Στέφανον καὶ λόγους τιμᾶν καὶ λόγοις ἀγαπῶντα συνεῖναι καὶ λόγων αἰδεῖσθαι θεραπευτάς· τὸ λυπῆσαν δὲ οὐχ οἷον*

---

100 post *οἷόν* add. *τε* A²

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*ὑπέλαβες ἦν, σὲ καταθεῖναι μὴ ἐᾶν ἐμοὶ τοὺς μισθούς· καὶ πατέρα γὰρ ἐπιβεβουλεῦσθαι πρῶτον ἐνόμισα· τοιοῦτον σὲ γινώσκω περὶ ἐμέ· ἀλλ' ἴσον ἔκρινα τοῦ μὴ ἐᾶν τὸ σιγᾶν καὶ μὴ πρὸς τοῦτο ὠθεῖν· τοιοῦτος ἐγὼ περὶ σέ, ὅλον εἶναι σε ἀγαπῶν τοῦ καλοῦ· ἀλλ' εἰ μέλει σοί τι ἡμῶν, καὶ ὃ παρέβλεψας ἴδε καὶ περὶ τούτου σκόπει, καὶ περὶ ἄλλων ἐννόει καὶ τὸν πατέρα ὤθει καὶ τὰ οἰκεῖα ποίει καὶ πρὸς ζῆλον ἅπαντας κίνει.*

## 12. *Ἐφραὶμ μοναχῷ.*

*Οἷς μὲν ἐρήμους τῆς σῆς ἀναστροφῆς ἑαυτοὺς βλέπομεν, ἔχω τι τῶν αἰτιῶν ἐκείνων, αἳ τῶν κατεχόντων ὤφθησαν κρείττους ἐξ ἡμῶν ἀπαγαγεῖν σε καταπείσασαι μᾶλλον ὑπὸ μέμψιν ποιεῖν· οἷς δὲ ὁ βίος δίδωσι λυπηροῖς, ἔχω τι καὶ τῶν ἐπαινουμένων ἐν ἐκείναις εὑρίσκειν, τὸ ἀναχωρῆσαι προκρίναν τοῦ μένειν ἐνορῶν συμφερώτερον· τῷ μὲν γὰρ |* f. 140v *μία εἵπετο ἡδονή, ἡ συσκήνωσις τῶν ἀγαπωμένων, τἄλλα ἔχοντι λυπηρά· τῷ δὲ σύνεστιν ἃ εὐφραίνει πολλά, ἓν τὸ ἀνιῶν ὃ ἐκεῖ εὔφραινεν ἔχοντι· καὶ ἦν τὸ κουφίζον τὴν περὶ τοῦ ἐμοῦ Ἐφραὶμ λύπην τὸ ἀφορμὰς ἐξευρίσκον πολλὰς κρείττω τῆς ἐπισχέσεως ὑπολογίζεσθαι τὴν ἐξέλευσιν· ἐμοὶ γάρ, δοκῶ δὲ καὶ σοὶ καὶ ἑτέροις, ὑγίεια νόσου ἡδίων· ἢ οὐχὶ νόσου διέφερεν οὐδὲν ἡ μετὰ ὀδύνης συσκήνωσις; ὑγιείας δὲ διαλλάττει οὐδὲν ἡ χωρὶς ἀνιαρῶν ἀποσκήνωσις· ὥσπερ γὰρ συνοῦσιν ἡμῖν τὸ ἡδῦνον ἀπὸν τὸ ἀλγῦνον ἐπέτεινεν, οὕτω διεστηκόσι τὸ βαρῦνον οὐκ ὂν ἀπωθεῖ τὸ προσὸν τῷ βαρεῖ· ἔχου γοῦν τῆς οὐκ ὀδυνώσης βιώσεως καὶ ποτὲ μὲν γράμμασιν ὁμίλει τοῖς ἀγαπῶσι, ποτὲ δὲ τῇ ἀοράτῳ σύνεσο τούτοις ἑνώσει, ἣν διάβασις ποιεῖ νοερά· συμπαρέστω δέ σοι καὶ ἡ τοῦ συνέσεσθαι καὶ σώματι τούτοις εὐχή, ἡμῖν δὲ ἡδονῆς ὑπόθεσις ἔσται τὸ ἀλύπως διάγειν ἀκούειν σε· ἀποκάμοι δὲ καὶ ἡ ἐλπὶς οὐδαμῶς, τὸ ποθούμενον |* f. 141 *ὑποβάλλουσα καὶ ἴσως οὐχ ὡς ἀσυνέτους βοσκήσει.*

## 13. *Θεοδώρῳ βασιλικῷ πρωτοσπαθαρίῳ.*

*Ὁ λογισμὸς μέν, ἐπεὶ μηδαμοῦ εὕρισκε μέχρι τῶν χρηστῶν ἵστασθαι, ἅμα τῇ ἀναπλάσει τούτων εἰς τὰ μὴ χρηστὰ μεταπίπτων οὐκ εἶχε φαντάζεσθαι, καλὸν γὰρ ἡ ἀλήθεια, τὴν ἐκ τῶν λόγων ἀπόφασιν, οἵαις ἀφορμαῖς μὴ ἀνατυποῦσθαι τὰ τῆς ἀποτεύξεως ἀπορῶν ὡς εἰκός. ἵστατο μὲν γὰρ ἐκεῖ τρόπους σου θαυμαστοὺς καὶ ἦθος πλῆρες ἁπλότητος καὶ προαίρεσιν ξενίζουσαν ἐννοῶν, μεθίστατο δὲ πάλιν ἐκεῖθεν, τοιαύτης ἡμᾶς οὐκ ἀξίους ἀναλογιζόμενος χάριτος, οὐδεμιᾷ προφάσει πρὸς τοιαύτας ἐκκαλεῖσθαι σε χάριτας ἔχοντας· ἔδει δὲ τὴν ποίησιν ψεύσασθαι καὶ νικῆσαι τὰ κρείττω· καὶ χαίρω διὰ τοῦτο ἥττων εὑρεθεὶς κἀγὼ περιαγόμενον τὸν λογισμὸν τοιαύταις ἔχων περιτροπαῖς καὶ νικῆσαι ἡττηθεὶς οἴομαι, ὅτι ὁ νικήσας αὐτὸς οὐ θετταλῷ με σοφίσματι παρελθών, λόγων δὲ μᾶλλον θείων πειθοῖ. ἔχω δὲ καὶ περὶ τῆς |* f. 141v *νύσσης παρεκδραμεῖν, ὅτι τοιοῦτον ἔδειξεν ὠκὺν ἡ βαλβίς· ἀλλά*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

μοι ἔρρωσο καὶ τὸ νικᾶν σπούδαζε. ἕξεις γὰρ οὓς παρεκτρέχεις οὕτως ἐπαινέτας, οὐκ ἀντιπάλους.

### 14(13). Τῷ αὐτῷ.

Ἢ ὑγιαίνων ὀλιγωρίας ἢ οὐχ οὕτως ἔχων ἀκηδίας γεγράψῃ. Ἐκεῖνο μὲν ὅτι ἐπιστείλας οὐκ εὔφρανας, τοῦτο δὲ ὅτι καταγνοὺς ἴσως τι τῆς φιλίας ἐλύπησας· ἀλλ' ἤτω μόνον τὸ πρῶτον, καὶ παρέσται μὲν τὸ εὐφραῖνον, οἰχήσεται δὲ τὸ ἀνιῶν.

### 15(14). Ἀρσενίῳ ἐπισκόπῳ.

Πλείω γράφειν οὐκ ἔχοντες τῷ μὴ ὑπόθεσίν σε μακροτέρων λόγων ἡμῖν παρασχεῖν, οὕτως ἀπελθούσης ὡς εἰκάζομεν ἀπὸ σοῦ τῆς μνήμης ἡμῶν, τοῦτο μόνον ἐνσημαίνομέν σοι τῷ γράμματι, ὡς ὑπόληψιν ὑπεροψίας φιλούντων καὶ λήθης δέδωκας παντελοῦς, τῇ τῆς μείζονος ὁράσει τιμῆς παροραθείσης τῆς περὶ ἐκείνους σπουδῆς· τοῦτο ἡ χρόνιος ὑποβάλλει σιγή· ὑπεξέδραμεν γὰρ ἂν τῇ τοῦ χρόνου παραδρομῇ εἴ τι ἄλλο δυσχερὲς ἐπεῖχε | f. 142 τοῦ βίου εἰ μὴ τοῦτο οὐκ ἦν· ἀλλ' ἡμῖν τοῖς ἔτι τὸ σὸν περιστρέφουσιν ὄνομα φυλάττοιο ἄνοσος καὶ ἐπηρειῶν, αἳ καὶ τὸ κινοῦν καὶ τὸ κινούμενον ἐπιβουλεύουσιν, ἀνεπίδεκτος· καὶ πάντως † ὅτε † καὶ ὁ χρηστὸς Ἀρσένιος εἰ μὴ τοιοῦτος καὶ τὸ ἐπέχον εἰ τοιοῦτον, γνωσθήσονται.

### 16(15). Ἰωάννῃ.

Καὶ χρυσὸν πῦρ καὶ ἄνδρα δείκνυσιν ὁποῖος ἀρχή· εἰ οὖν τὰ πρὸ τῆς ἀρχῆς οὐκ ἠλάττωσεν ἡ ἀρχή, δεῖξον ὡς αὐτός μοι διαμένεις καὶ νῦν, δείξεις δὲ χαριζόμενος τοῖς φιλοῦσιν ἡμῖν· καὶ ὅτι φιλοῦμεν αὐτὸ δηλοῖ τὸ αἰτούμενον. πεινῶσαν γὰρ ψυχὴν ἐμπιπλῶν τὸ αἴτιον τοῦ κόρου εὐεργετεῖ. καιρὸν ἔχεις ἐργάζεσθαι τὸ καλόν. μὴ τὸ καὶ τὸ προφασίσῃ. τί γὰρ τέξει τὸ ἐπιόν, ἄδηλον.

### 17(16). Τῷ κανστρισίῳ.

Αὔραις τὸ συμβὰν δεδόσθαι βουλόμενοι, ζητεῖν ἠπειγόμεθα ταῦτα ἃ τὴν συνέλευσιν ἀστασίαστον ἐποίει καὶ τοῦ συνενεχθέντος ἀμνήμονα· ὡς δ' οὐκ ἐπείθομεν, τῷ δευτέρῳ πλῷ, ἐπεὶ τοῦ αἰσίου διημαρτάνομεν, δεδώκαμεν ἑαυτοὺς | f. 142v πρὸς τὸ κακῶς ἀκούειν λέγειν οὐ θέλοντες, ὃ δὲ καὶ τοῦτο ἐβεβαίου καὶ τὴν ἐκπίπτουσαν οὐδέποτε ἀγάπην ἐφείλκετο, ἐποιοῦμεν, προετρέχομεν, τὴν δὲ ἀποστροφὴν οὐ περιειργαζόμεθα· ὑπεκλίναμεν τὸν αὐχένα καὶ τὸν παραλογισμὸν οὐκ ἐξητάζομεν, ἠσπαζόμεθα καὶ ὧν ἀπέπτυες λόγον οὐκ ἐποιοῦμεν· διαλλακτὰς ἐκινοῦμεν καὶ παρακρουόμενοι ὡς μεῖζον

---

155 † ὅτε † : ὁ...οτε A ὁκποτε vel ὁκωοτε? A²

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*τῆς ἀφέσεως ἔχοντες τὸ ἀδίκημα, ὠθεῖν πρὸς τοῦτο καὶ ἑτέρους οὐκ ἀπε-*
*κάμνομεν· τοὺς ὀφθαλμοὺς τοῖς δρωμένοις ἐμύομεν, τὰ ὦτα τοῖς ἀκουομέ-*
*νοις ἐβύομεν, φημιζόμενοι ἰδιῶται πολλὰ μαθεῖν ἔτι δεῖσθαι λέγειν οὐ*
*κατῃδούμεθα, ἀνέστιοι καὶ τῶν ἐπὶ ῥινὸς ἠκούσαμεν καὶ ὡς ἀληθιζομένῳ*
*τῷ ῥήματι προσεσχήκαμεν· τοῦ λέγοντος μόνον καταστενάξαντες ὡς τοῖς*
*ἐκτὸς φυσωμένου καὶ τὴν ἀπέλευσιν ὁμοίαν τῆς εἰς τὸν βίον οὐκ ἀναθεω-*
*ροῦντος προαγωγῆς· ἐντεινόμενα ἑωρῶμεν τὰ τόξα καὶ ὡς δεσπότῃ φαι-*
f. 143 *νομένῳ μόνον | ὡς οἱ τῶν Σκυθῶν ἀποστατήσαντες ὑπεκκύπτομεν. τί προη-*
*ροῦ πλέον ποιεῖν, ὅτι μὴ τὴν λεοντῆν ἀποβαλὼν μετεβάλου πρὸς τὸ ἥμερον*
*καὶ φιλάνθρωπον. πολλάκις ἔλαβες ἡμᾶς ὑποπίπτοντας καὶ τὸ οἰδαῖνόν σου*
*καταστέλλοντας καὶ αὖθις τὸ παροιμιῶδες ἡμῖν γέγονας, ὁ ἐν Σίδῃ λιμήν·*
*καὶ τίς ἡ τοσαύτη σου καθ' ἡμῶν ἐπανάστασις; ἀλλ' εἰ βούλει, καὶ τὸν*
*αἴτιον ὅστις ἐννοεῖ τοῦ ἀδικήματος, καὶ ὅτι οὐ μέγα σκέψαι καὶ τὸ ἀδίκημα,*
*καὶ τὸν τῆς ἔχθρας ὅσος ἀναλόγισαι χρόνον καὶ δι' ὃν αὕτη καὶ πρὸς ὃν καὶ*
*παρά του, πρὸς δὲ καὶ τὸ βραχὺ τοῦ βίου καὶ ὅτι τροχὸς τὰ ἀνθρώπινα*
*λόγισαι, καὶ τῆς καθημερινῆς καὶ πρώτης εὐχῆς τί τὰ ῥήματα βούλονται*
*σκόπησον, καὶ τὴν ὑπὲρ τούτων ἐν τῇ τῶν εὐθυνῶν ἡμέρᾳ φρόντισον ἀπο-*
*λογίαν, καὶ ὅτι ἐπιμένων μὲν τῷ σκοπῷ, μὴ ἀγνόει σπλάγχνα κλείειν φιλάν-*
*θρωπα, καταλύων δὲ τὴν ὀργὴν εὐμενὲς ἕξειν τὸ θεῖον ὑπονοοῦ. ταῦτα*
f. 143v *περιστρέφων κατὰ σαυτόν, | ἵν' ἐπᾴσαιμί σοι τὸ ποιητικόν, δάμασον θυμὸν*
*μέγαν, οὐδ' ἔτι σὲ χρὴ νηλεὲς ἦτορ ἔχειν· στρεπταὶ γὰρ φρένες ἐσθλῶν· εὐλα-*
*βήθητι τὰς χρονίους λιτὰς καὶ ὑπεῖξαι ταύταις βουλήθητι, πρὶν δ' οὔτι*
*νεμεσητὸν κεχολῶσθαι· καὶ εἴκων εὖ οἶδ' ὅτι μετάμελος ἔσῃ, ὅτι τοσούτους*
*ἡλίους ἐπὶ τῷ σῷ παροργισμῷ καταδύνειν ὑπέμεινας ὑποπεπτωκότας· ἔχεις·*
*δὸς ἀναλογοῦσαν ῥῆσιν τῇ ὑποπτώσει. ἅλις σοι γὰρ ἢ τἄλλα καὶ φιλώμεθα.*

### 18(17). Καλλικλεῖ.

*Ἀφορμῆς προκειμένης οὐδεμιᾶς περιττὸν ἦν ὑπορύττειν αἰτιῶν ὥστε*
*προσεξευρεῖν ὑπονοίας πρὸς τὸ μηκύνειν τὰ τῆς γραφῆς· ὃ μέντοι καὶ*
*μακρηγοροῦντες ἐξῃτησάμεθα παρ' οὗ καὶ ἐξαιτεῖσθαι τοιαῦτα χρεών, τοῦτο*
*κἂν τῇ βραχυλογίᾳ τίθεμεν, εἴη νόσων ἀπαθῆ σωματικῶν κατακούειν σε καὶ*
*βιοτικῶν ἀνεπηρέαστον συμφορῶν· αὐτὸς γὰρ τῷ ἐνύλῳ τὴν ἄυλον συμφύ-*
f. 144 *ρων ψυχήν, εὐλαβῶς ἔχω περὶ τῶν ἐκείνης διαθέσεων | εὐχὰς ὑπὲρ ἄλλων*
*ποιεῖσθαι.*

### 19(18). Πέτρῳ ἀσηκρῆτις καὶ μαΐστορι.

*Ἀεὶ φέρει τι Λιβύη κακόν· τῷ καινῷ τοῦ προστριβέντος ὀνείδους ἡμῖν*
*εἰς καιρὸν εἰπεῖν ταύτην ἐπῆλθε τὴν παροιμίαν· καὶ κἂν μέ τις ἀλογίου*

---

182 *φιλάνθρωπον* A² *φιλανθρωπότερον* A 200 *κίνειν* cod. 208 *εἰπεῖν* in marg.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

δίκην ἐγράφετο τὸ ἀεὶ μὲ πόλεμοι εἶπον ἂν τοιοῦτοι διώκοιεν καὶ οὐδὲν ἕτερον, εἰ μὴ τὸ πατρικὸν ἀνελίττων γράμμα χερσὶν πρὸς αὐτὸ τοὺς ὀφθαλμοὺς ἐπεστήριζον καὶ τὸν ἐκ τούτου ἀναλεγόμενος νοῦν εὕρισκον οὐ πάντη με σιωπᾶν ἐγγυώμενον· πρὸς μὲν οὖν τοῦτο ἐννοίας ἔχοντι ψυχῆς ὡς ἀληθῶς εὐγενοῦς ἀντιπίπτειν οὐκ ἔχων τῇ σιγῇ τὸ καλῶς εἰρῆσθαι συντίθημι. τίς γὰρ καὶ μικρᾶς φρενὸς εὐμοιρῶν παρακρούσαιτο νουθεσίαν, ἢ καὶ τὰς παραφυάδας τῶν ἀναδιδομένων τῷ βίῳ κακῶν τῇ τῆς ἐκκοπῆς εἰσηγήσει παραναβλαστεῖν οὐκ ἐᾷ. πρὸς τοῦτο μὲν οὖν διὰ τοῦτο προκρίνω τὴν σιωπὴν κἂν οὔτε κλωνί, οὔτε παραφυάδι κακοῦ τὸ | [f. 144v] ἡμέτερον ἔοικεν· πρὸς ἐκεῖνον δὲ ὅστις ἂν ᾖ, ἀπῆλθεν γὰρ ἡ μνήμη τὸ ἀνατυποῦν αὐτὸν μὴ διδοῦσά μοι ὅλως, εἰ αὐτός ἐστιν εὑρετὴς τῶν τοιούτων ἀναπλασμάτων, ταῦτα λέγειν αἱροῦμαι, τὸ καταψᾶν, περιβάλλειν, προσπτύσσεσθαι φιλῶν ἀνὴρ εἰλικρινοῦς ἀγάπης ἔνδειγμα εἴποι τῆς τοῦ προσώπου ποιότητος, ἕτερον οὐκ ἐώσης ὑπολογίζεσθαι· ἐκεῖνο γάρ ἐστιν τὸ χορηγοῦν ὡς ἐκ θησαυροῦ τὴν ἐπὶ τὰ χείρω καταφοράν. τοῦτο δὲ οὐκ ἔχων εἰπεῖν, πῶς οὐκ ὤκνησας τὸ ἁπλῆ γεγονὸς περιτρέψαι διαθέσει καὶ γνώμῃ ὀρθῇ. ἔφης δέ πως ἐοικέναι τοῦτο παισὶ καὶ οὐδὲ μεμπτέον εἶναι, ἀλλ' ἀποδοχῆς ἄξιον· ὑπονοίας ἡμᾶς ἐκτὸς εἶναι φαύλης ἐβούλου· πρὸς ἐκείνους ἀπηγόρευσας, οὐ πρὸς σὲ γίνεσθαι τοῦτο· σύννους πρὸς τὴν ἀπάντησιν καὶ σοβαροὺς εἶναι προετρέπου καὶ περιέργους· ἀλλὰ παῖς, οὐ φίλος, τὴν τοιαύτην ηὐλαβήθη καὶ κατέπτηχεν ὄψιν. ἁμαρτόντας τῆς μετὰ δέους ὑποκύψεως ἔμελλες διορθοῦν τὸ παρεθὲν ὑπὸ | [f. 145] μέμψιν ἄγων μὴ καὶ τὸ καλῶς αἱρεθὲν μετὰ τοῦ παρεθέντος κατητιῷ. ἀλλ' εἴ τι τῶν τοιούτων ἐγὼ συνίημι διαλογισμῶν, αἰθερίου καὶ ὑπερνεφοῦς διανοίας ταῦτα γεννήματα, οὐκ ἀγαπώσης πᾶν ὃ ἐκ φιλικῆς πράττεται διαθέσεως· ὅτι γὰρ μὴ ὡς ἑνὶ τῶν μεγάλων ὑποκλινὴς ἡ τοῦ ἀπαντήματος ὑπόπιωσις γέγονεν, ἡ τοιαύτη πειθὼ τῶν λόγων ἐξείργασται χρωματισθεῖσα τῇ ὑποκρίσει ὡς συγκρύπτειν τὸ ἀκαλλὲς τοῦ ὀγκώδους φρονήματος· τὰ παρ' ἡμῶν αὐτῷ τοιαῦτα δημιουργῷ τοιούτων γενομένῳ ὑποφορῶν· εἰ δ' οὗτος εἰς νοῦν ἀναληψάμενος τοιοῦτον οὐδὲν ἄλλων ὑποθέντων αὐτῷ τὰ τοιαῦτα τῶν λόγων ἀμβλώματα ἀντειπεῖν οὐ δυνηθεὶς εἰς οἵας ἐνέφαινε τὸ γράμμα παρηνέχθη περιτροπάς, τοῦτο παρ' ἡμῶν ἀκούσεται ὡς οὐ χρή, ἑταῖρε, παντὶ ἀνέμῳ ῥιπίζεσθαι, οὐδὲ ταῖς πολλῶν μετεωρίζεσθαι δόξαις· οὕτω γὰρ ἂν καὶ τὸ γλυκύ σοι πικρὸν καὶ τὸ ἔμπαλιν νομισθήσεται ὑπὸ τῶν εἰκῇ πολυπραγμούν| [f. 145v] των περιαγομένῳ τὰ δρώμενα. οὗτοι γὰρ οὐκ ἄν ποτε τοῖς γινομένοις εὐστόχως προσχοῖεν, ἐπεὶ παρ' αὐτοῖς τῶν ἐπαινουμένων οὐδέν, σοὶ δὲ σώζοιτο τῆς ἀγάπης τὸ ἄδολον καὶ ἑνὸς καὶ δύο λόγος οὐδείς· πλὴν ἔξομεν ὑποθήκην ἡμεῖς μετὰ τῆς τοῦ διδασκάλου ἡμῶν εἰσηγήσεως,

---

212 - 213 ἀληθοῦς καὶ εὐγενοῦς $A^2$ 225 μεμπτέον $A^2$ μεμπταῖον A

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

ἣν ὑπέβαλεν ἡ τῶν ἀντιπιπτόντων ἀντίθεσις, ταῦτα συμβουλομένην τὴν παροιμίαν τὴν ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ λέγουσαν ἕπεσθαι.

**20(19). Ἀρσενίῳ ἐπισκόπῳ.**

Ἡ τοῦ σοῦ ἀνάπτυξις γράμματος τὰ τὴν συνεχῆ γραφὴν ἐπέχοντα διηυ-
κρίνει, τὰ δὲ καὶ πρὸ τῆς ἐκείνου ἡμῖν ἐγνωσμένα ἣν ἀναπτύξεως· ὃ δὲ
ἐκεκάλυπτο ἔτι διαδιδράσκον τὸν ἡμέτερον νοῦν μὴ ἄρα μετ' ἦχον τὸ μνη-
μόσυνον ἡμῶν ἀπωλώλει πάντῃ τῆς σῆς διανοίας ἐξαλειφθέν, τοῦτο διεσάφει
ἐκεῖνο, πρὸ ἐκείνου δὲ καὶ ὁ θεοφιλὴς ἐπίσκοπος, ὁ πνευματικός σου πατήρ,
f. 146 ἐβεβαίου τῆς σῆς ἡμᾶς οὐκ ἐξαληλιμμένους | ψυχῆς, ἐντετυπωμένους δὲ μᾶλ-
λον καὶ ἀναγράπτους ἔτι καὶ νῦν· τοῦτο δὲ καὶ ἡμῖν ἀπεσώζετο καὶ ἀποσω-
θήσεται καὶ οὔτε τῇ ὑπολήψει ὑπέρρευσας ἡμῶν ᾗ κατειχόμεθα, οὔτε μὴν
ἀπορρεύσεις ποτέ, μέχρις ὁ ἀὴρ οὗτος ἐκπνεῖται ἡμῖν· τρίτη δέ σοι αὕτη
ἐπιστολή, εἰ μὴ τὸ τοῦ Φινέως οἱ διακομίζοντες πάσχουσιν, Ἁρπυιῶν πρὶν
ἀποδοῦναι τὸ ἐγχειρισθὲν τῶν ἐκείνων ἀναιρουμένων χειρῶν. ὁ χρησιὸς
Ἐφραὶμ καὶ οἱ τῆς σχολῆς ἔκκριτοι προσαγορεύουσί σε τῷ γράμματι.

**21(20). Ὀρέστῃ χαρτοφύλακι.**

Ἐπεὶ μὴ ὁ πραγμάτων σε ὄχλος ἐᾷ τὰ συμφυέντα τῷ συγγράμματι
ἐκκόπτειν παραβλαστήματα, τῷ ἀτελῆ κυήματα ἀμβλίσκοντι ἐμοὶ σταλήτω
τῷ τούτου πατρί, οὐχ ἡσθησομένῳ τούτῳ ὅτι μηδ' οἷον τὸ γέννημα ἀγνοῶ,
περιεζομένῳ δὲ καὶ τέως ἀθέατον πειρασομένῳ ποιεῖν ἀφανοῦς ἐπικρύψει
γωνίας, μέχρις ἂν ὁ χρόνος ἀπομαιεύειν ἐντελῆ δῷ· μέγα δέ μοι καὶ τοῦτο
f. 146v τὸ ἐναπερεῖσαι σου πρὸς | αὐτὸ τοὺς λεῖα βλέποντας ὀφθαλμούς.

**22(21).**

Κἂν μὴ χρόνος ἡμᾶς ἐβεβαίωσεν εὐπαρρησιάστως τὰς εἰς σὲ δεήσεις
ποιεῖσθαι, δι' οὗ διάθεσις ὁποία ἑκάστου εἶναι γνωρίζεται, ἀλλ' ἡμῖν ἀμφι-
βάλλειν οὐδὲν ἡ μία ἐξήρκεσεν ἐντυχία, πείσασα μή τι τῶν εἰς τὸ διστάζειν
φερόντων ὑπολογίζεσθαι· διὸ καὶ ὡς ἤδη τὴν περὶ σοῦ πίστιν ἐν τῷ βάθει
θέμενοι τῆς καρδίας, ὑπολήψει χρηστῇ τὸ γράμμα διεχαράξαμεν, τούτῳ
προτρέποντες τὴν ἀγαθήν σου προαίρεσιν τοῖς ἀποσταλεῖσι συνεπιλήψεσθαι
καὶ πρὸς τὴν τῆς ὑποθέσεως ἔκβασιν ἐπισπεῦσαι· δίδωσι γάρ σοι βουλο-
μένῳ πρόφασιν αὕτη ἀναβάλλεσθαι πρὸς τὴν τῆς ἐκπληρώσεως σπουδὴν
οὐδαμῶς.

**23(22). Πέτρῳ ἀσηκρῆτις καὶ μαΐστορι.**

Μικροῦ καὶ μισανθρωπίας ἥλων ἐγκλήματι καὶ τὸν Τίμωνα δικαιοῦν
ἔκρινα κατὰ καιρὸν ταύτῃ χρησάμενον· οὐδὲ γὰρ ἐκεῖνος πρὸ τοῦ ἀδιαφό-
ρως οἰηθεὶς ζῆν εἰς τοσαύτην ἂν ἐξετράπη ἀνημερότητα, μὴ τὴν εἰς τοῦτο
f. 147 ἐξέλ|κουσαν αἰτίαν ἰσχυρὰν ἔχων καὶ ἀντιπίπτον πᾶν ἀποκρουομένην· οὕτως

30 - 9 - 1957

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*ὅταν μὴ προθέσει, βίᾳ δὲ ποιεῖν τι τῶν ὑπαιτίων αἱρῶνται τινές, συγγνωστοὶ διὰ τὸ τῆς προσβολῆς ἰταμόν· εἰ μὲν οὖν ἐγγυωμένους ἔλαβες ἡμᾶς, ἀλλ' οὐ παρακλήτορας τῆς δυστυχοῦς ἐκείνου πενίας, τί μὴ τῇ ἐγγύῃ ἐψηφίσω ψῆφον ἀνήκουσαν, κἀκεῖνον καὶ ζῶντα καὶ ὑπὸ χεῖρα καὶ ἡμᾶς τοῦ τότε συμψηφισθέντος ἔχων συμβραβευτάς; εἰ δὲ μὴ τοῦτο, θάτερον δέ, τί μὴ μᾶλλον οἰκτείρων τὸν στενὸν τοῦ ἀνθρώπου βίον καὶ ἄπορον, Ἀμαλθείας τούτῳ κέρας ἐφάνης ὀρύττοντι, κενοῦν τὰ προσόντα εἰς τοιούτους ἑλόμενος· ἀλλ' ὡς ἐγγυητὰς ἡμᾶς τοὺς οὐ τοῦτο ὄντας ἄγεις ὑπὸ κατάκρισιν. πλὴν τῷ μὴ ἐξαθωοῦσαν γινώσκειν με κἂν ταῖς δικαίαις ἀπολογίαις ῥῆσιν προφητικὴν ὄντα ὑμῖν, τὸν πατέρα παρακαλῶ μὴ τῷ παιδὶ φορτίον ἐπιτιθέναι δυσβάστακτον.*

### *24(23). Λέοντι σακελλαρίῳ.*

f. 147v *| Ὠνίους ὡς ἔοικε μάζης ἡμᾶς ὑπολογισάμενος καὶ βορᾶς προτιμῶντας οὐδέν, τῷ ἐξ ὀνόματος τὴν περιττὴν βορὰν ἐμφαίνοντι λιχνείαν ἐδεξιώσω ἰχθύϊ, ἕτερον οὐδὲν ἢ ἄπορον ἡμῖν καθιστὰς τῷ ἀπροσδοκήτῳ τοῦ δεξιώματος τὴν πρὸς τοῦτο παρασκευὴν τριχίσιν ἢ ἀφύαις διαιτωμένοις καὶ εἴ που τύχοι τεταριχευμένῳ τεμάχει, ἃ καὶ τοῖς ὑπηρετοῦσιν ἀπερίσπαστον ποιεῖ τὴν παράστασιν καὶ τοῖς ἀπογευομένοις τὴν ὥραν οὐ χρονίαν τῆς μεταλήψεως. εἴθιστο δ' ἂν ἡμῖν καὶ τὸ τῆς διαίτης ἁβρότερον — οὐδὲ γὰρ ἑκούσιον τὸ ἀποίκιλον — εἰ τὸ ἴσον ἡ τρυτάνη, ἀλλ' οὐ τῷ ἑνὶ μέρει τὸ πάντη βαρύνον ἀπέφερεν· καὶ τὸ ἀλγοῦν, ὅτι οἱ τὰ ζυγὰ καθέλκοντες ὑμεῖς, οἳ καὶ τὰ παράσημα τῶν οὐ τοιούτων ἐξακριβοῦντες περὶ τὴν ἐκλογὴν οὐκ οἶδα ὅπως τῇ ταλαντεύσει διαλανθάνετε· καὶ ὁρᾶν μὲν ἐστὶν παρ' ἡμῖν, δόκιμον*
f. 148 *μὲν τὸ ὑπόχαλκον, κίβδηλον δὲ τὸ χρυσοῦν. | ἀλλ' ἔστω μὲν παρ' ἡμῖν ἡ περὶ τὰς ἐκλογὰς διαμαρτία, μὴ παρ' ὑμῖν, καὶ φαινέσθω καλῶς ἔχειν εἰ δοκεῖ καὶ ἡ διάκρισις· μὴ παρρερίφθω γοῦν παντάπασι τὰ ἀποκρινόμενα, ἀλλ' ἐχέτω τὸν ἀναλογοῦντα ἕκαστον κλῆρον. μετῆν σοι μὲν οὖν τούτων οὐδέν, ἐπεὶ μὴ λογιστὴς ἡμῖν ἄχρι καὶ νῦν ἐδείκνυσο, τῶν λογιζομένων δὲ καὶ ἴσως τῶν ἀχθομένων, ὅτι μή τι τῶν ἀδοκίμων ἔχων τοῖς τοιούτοις ἐτέταξο· διὸ καὶ ἡμᾶς εἶχες οὐκ ἴσον, οὐ μέρος τῆς καταβολῆς ἀπαιτοῦντας, μένοντας δὲ μόνον τῆς ἀνάντους ταύτης οἴμου τὴν ἀκρώρειαν ὑμᾶς ἐφίκεσθαι, ἧς ἡ ἐπιτυχία δείκνυσιν ἕκαστον ὁποῖον· ἀρχὴν γὰρ ἄνδρα δείξειν καὶ τὸ λόγιον εἶπεν· νῦν δὲ ἐπεὶ καὶ τὸ κρημνῶδες ἐξέκλινας καὶ τῷ ἰσοπέδῳ ἐρήρεισαι καὶ τῆς ἀρχῆς ἐπείληψαι καὶ τὸ καλῶς μετρεῖν ἐγκεχείρισαι, τῶν ὧν οἱ διδάσκαλοι τιμῶν ἀπολαύειν ἄξιοι μὴ ἀγνόει, ἀλλὰ καὶ χάρισιν ἐπι-*
f. 148v *δαψιλεύειν μὴ ὀλιγώρει | καὶ πληθύνουσι τὰς δεήσεις μὴ ἄχθου καὶ περιδρομῇ πάσῃ μεγάλα τούτοις προσεξευρίσκων, μὴ μεγάλα οἷον ποιεῖν, καὶ τότε γνωρίσομεν ὡς ἡμέτερον καὶ πολλοὺς ἐναργέσι πείσομεν λόγοις ὡς ὁ ἐν σοὶ χρυσὸς οὐ κατίωται.*



Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

### 25(24). Τῷ αὐτῷ.

Οὐκ εἶχέ τι τῶν σπουδῆς ἀξίων ἡ πρώτη ἐπιστολὴ διὰ τὸ καὶ πρώτην ἐξειργάσθαι πρὸς σέ· πλείων γὰρ ἡ τῆς παιδιᾶς ἔνδειξις παρ' αὐτῇ ἢ τῶν σπουδαζομένων ἡ ἔμφασις, διὸ καὶ παρημέληται καὶ ὅσον ἀκοῇ μόνον ἐμβληθῆναι ὅτι ἐξείργασται τῇ σῇ κατεσπούδασται· ἡ μέντοι δευτέρα ἥτις αὕτη ἐστὶ καὶ σπουδαιοτέρα καὶ καιριωτέρα ἀνειπεῖν ἔχουσα μὴ μέχρι τῆς ἀναπτύξεως σχεῖν τῶν ἐγκειμένων τὴν γνῶσιν τὰ πρῶτα παρακαλεῖ, μηδὲ ἀφανεῖ παραρριφῆναι γωνίᾳ· ταῦτα γὰρ τῶν δεκαζομένων ἴσως καὶ τῶν πρὸς τὰς τῶν ἡττόνων ἐξυπτιαζομένων ἐντεύξεις, οἳ τὰς χεῖρας τῶν τοιούτων ἀποσκοπεῖν εὔθετοι μᾶλλον ἢ τὴν κρίσιν ὁποία τῶν λαλουμένων· πρὸς μὲν οὖν
f. 149 τὰς ἡμετέρας | χεῖρας οὐκ ἂν ἀπίδοις, καὶ ὅτι κεναὶ εἰδὼς καὶ ὅτι οὐ τοιοῦτος ἐγνωσμένος αὐτός, καὶ ὅτι οὐδὲ τοιαῦτα τὰ προτεινόμενα, σεσοβῆσθαι πάλιν οὐ τεχνάσῃ καὶ ὡς ἄηθες ἀποτρεπόμενος τοῦτο εἰ μὴ γένηται τῇ ἀρχῇ σύνηθες καὶ ἡμᾶς ὡς σοφιστὰς καὶ τὴν τοῦτο διωθοῦσαν τιμῶν ἐντολήν. ἀνάγκη οὖν τὸ ἔχον τὸν ἔπαινον ἐκλεγόμενον καὶ ἱλαροῖς ὀφθαλμοῖς καὶ ὀξυηκόοις ὠσὶ καὶ τεταμένῳ τῷ λογισμῷ τοῖς ἡμετέροις γράμμασιν ἐπιβάλλειν σε, καὶ δεῖσθαι μὲν καὶ ἑτέρας γραφῆς, οὐ περὶ τῶν αὐτῶν δέ· φαίην μὲν ὅτι τὸ δίκαιον μεῖζον ἀπῄτει ἀπὸ σαυτοῦ κινηθέντα πρὸς τὴν τοῦ καλοῦ κλίσιν ἢ οἴκοθεν ἐξευρεῖν σε ὃ τὴν ὠφέλειαν ἡμῖν ἐπορίζετο ἢ παρ' ἡμῶν ἐξετάσαι, εἴ τι χρειῶδες εἴχομεν τῶν εἰς σὲ ἀνηκόντων εἰπεῖν, πλὴν εἰ καὶ τῷ δευτέρῳ εὐθυδρομήσομεν πλῷ, ὀψὲ καὶ ἡ τοῦ πρώτου ἐπιγενήσεται εὔπλοια· καὶ ταῦτα μὲν ἡ γραφή· ὃ δὲ αὕτη διὰ τὸ τοῦ αἰτουμένου ἀπέκρυ-
f. 149v ψεν εὐτελὲς ὁ ταύτην ἐγχει|ρίζων ἀπαγγελεῖ, καὶ σόν ἐστι λοιπὸν τοῦτό τε ποιῆσαι καὶ κρείττω σκοπῆσαι καὶ εἰ χρὴ καὶ εἰς ἡμᾶς τι συντεῖνον ἐπινοῆσαι· καὶ πρὸς τοῦτο γοῦν ἐπινεύων καὶ πρὸς ἐκεῖνα τὴν διάνοιαν ἐναπασχολῶν δώσεις ἀφορμὴν ἐπιτετευγμένως εἰκάσειν ἡμᾶς, ἀνανεύων δὲ ἢ διατρίβων ἄλλων δεῖσθαι φωνῶν καὶ γραφῶν ἀναγκάσεις, αἷς εἰκὸς ἐπιβοῶνται ὑμᾶς καὶ ἀγρόται, καὶ μάτην ἡ «κολοιὸς ἱζάνει πρὸς κολοιὸν» παροιμία.

### 26(25). Θεοδώρῳ πρωτοσπαθαρίῳ τῷ μυστικῷ[1] (150r).

### 27(26). Τῷ αὐτῷ[2] (150r - 151v).

### 28(27). Πέτρῳ νοταρίῳ τοῦ μυστικοῦ.

Ἐπέσταλταί σοι τὸ γράμμα, φίλη ψυχή, ὑπομνῆσον ἀλλ' οὐκ ἐπεῖξον· πρὸς τὰ καλὰ γὰρ εὐκινήτῳ συνών, αὐτοκίνητος ὢν εἰς ταῦτα καί, ὅ φησιν ὁ λόγος, ὁμοίῳ ὅμοιος, ὑποβάλλειν δεήσει καὶ αὐτὸς οὐκ ὠθεῖν· ἔδειξας

---

[1] « Byzantion », ἔνθ' ἀν. 442.

[2] « Byzantion », ἔνθ' ἀν. 443.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*ἤδη μήτε δι' ὃ τὰς παρακλήσεις οἱ πρὸς τὸ χρηστὸν οὐκ εὐχερεῖς ὑπερτίθενται ἀγνοεῖν, μήτε τῶν ἀνονήτων αὐτῶν εἶναι καταφυγῶν ἀτριβής· ἐπεὶ οὖν ἡ κυρία κατ' ἐκείνους ἡμέρα ἀπήντηκεν, μέλλει δὲ ἡ αὔριον ἐμφαίνειν τὸ πᾶν, καὶ ὅσα δεῖ λεχθῆναι εἰπὲ καὶ οἷα δεῖ γενέσθαι κατάπραξον, ἵνα μὴ ὧν τυχεῖν... ἐξαμάρτωμεν.*

### 29(28).

*Οὔτε πρὸς πτῆσιν ἀετὸς διδαχῆς, οὔτε πρὸς νῆξιν δεῖται δελφίς, οὔτε λόγων πολλῶν πρὸς τὸ τὸ καλὸν* | f. 152 *νοεῖν ὁ λόγῳ συζῶν. ἐπεὶ δὲ καὶ τῷ τοιούτῳ χαλεπὸν μὲν οὐδὲν τὸ περὶ τῶν οἰκείων ἐξ ἑαυτοῦ τὸ δέον σκοπεῖν, οὐ ῥᾷστον δὲ περὶ τῶν ἀλλοτρίων οἰκονομεῖν εὖ χωρὶς ὑπομνήσεως, συλλαβαῖς ὀλίγαις πολλῶν σοι δίδωμι ἐννοιῶν ἀναπτύξεις· καὶ τὸ κατάλυμα ἡμῶν ἑνὶ μόνῳ βιβλίοις ἐγκειμένῳ ἐξαρκεῖν ἱκανὸν καὶ ὁ παῖς ἐξυπηρετεῖν ἐρᾷ τῷ κυρίῳ· καὶ τῇ μαθήσει οὔτε ἡ τούτου φύσις, οὔτε ἡ ὁδὸς ἐμποδών· καὶ ἡμῖν οὖν τὸ ἀβαρὲς πραγματευόμενος καὶ τούτῳ τὸ ὠφέλιμον ποριζόμενος, καὶ σαυτῷ τὸν ἔπαινον διὰ τούτων ἐρανιζόμενος, οἰκονομησόν σου τοὺς ἐφ' ἑκάστῳ λόγους ἐν κρίσει, τὸ παραμένον δέ σοι τῆς ῥητορείας ἐμπύρευμα μὴ τέλεον ἀπομαρανθῆναι ποιήσῃς τοῦ χρόνου τῇ παρολκῇ· οἶδας γὰρ ὃ ἐργάζεται μέλλησις.*

### 30(29). Τῷ κανστρισίῳ.

*Πέντε ὅλοις ἔτεσι τὴν καθ' ἡμῶν ἐμοῦντι μανίαν ᾤμην πάλαι πᾶσαν ἐμημεκέναι· ἐπεὶ καὶ οὐχ ὁ τυχὼν ἔμετος ἐγεγόνει, ἀλλ' ἱκανὸς πᾶν εἴ τι παρηνώχλει τὰ ἔνδον ἀποβαλεῖν· τί δὲ ποιεῖν καλὸν* | f. 152v *ἐκκενοῦντα σε ταύτην ἔτι καὶ ἀρχὴν ἐξ ὧν ἀκούομεν τῆς κενώσεως ἔχοντα; σὲ μὲν ἀπολοφύρεσθαι ὅτι παρ' οὐδὲν τοὺς τοῦ θεοῦ νόμους ἡγῇ καὶ δι' ὧν ποιεῖς τὴν φιλάνθρωπον φύσιν εἰς ὀργὴν ἐκκαλῇ, ἑαυτοὺς δὲ μετὰ τοῦ θρηνεῖν καὶ παρηγορεῖν, ἐκεῖνο μὲν ὅτι μὴ προϊδεῖν ὄντες ἱκανοὶ τὰς ἐξ ἀφανοῦς σου τοξείας, ἃς ἔμελλες πέμπειν κατὰ τῶν ἁπλῷ προσιόντων σοι τρόπῳ, ὥς τινας μελιταίους κύνας τὰς αἵματος πληθούσας προτιθέμενος ἑστιάσεις, εἰς τοιαύτας κατηκοντίσθημεν ἀφέσεις βελῶν, ὡς ἐπὶ πέντε κύκλους ἐτῶν, ὦ ἀνεξίκακε θεέ, δι' ὃν δυστυχῶς ἀνεθρεψάμην καὶ ἐξεπαίδευσα βάλλεσθαι, τοῦτο δέ, ὅτι ἴσως τῶν προσόντων ἡμῖν κακῶν μικρά τις γενήσεται ἄνεσις τῇ τοσαύτῃ τῶν σκωμμάτων καταφορᾷ καί, ἵν' εἴπω τὸ τοῦ λόγου, τῇ Ἀργείᾳ φορᾷ· ἐνόμιζον μὲν οὖν τοσούτου παρελάσαντος χρόνου καὶ μάλιστα καὶ διὰ φίλων σὲ πρεσβευσάμενος καὶ ποδῶν αὐτῶν καθαψάμενος καὶ γραφῇ πρὸς σύμβα*| f. 153 *σιν προτρεψάμενος, ἀποθέσθαι μὲν τὴν ὀργὴν καὶ τὸ τῇ κακίᾳ ἐπεισπεσὸν ἀποτρίψασθαι καὶ τῆς συμβάσεως εὐπρόσωπον ζητεῖν ἀφορ-*

---

360 post *ὧν* spatium trium litt. num *χρὴ* vel *δεῖ?*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*μήν, καταιδεῖσθαι δὲ τὴν κατὰ πρόσωπον ὁμιλίαν, ἐκεῖνα διενθυμούμενον, ἃ καὶ εἰ ἐννοῶν ἐνεκάλυπτου τιμῶντος τὸ δίκαιον ἐποίεις ἀνδρός, καὶ τοῦτο ὑπονοῶν ἔμενον καὶ θεὸν εἰς τοῦτο κλῖναί σου τὴν ἀκλινῆ καρδίαν αἰτῶν καὶ φίλους ὑποβάλλειν ὠθῶν καὶ τὸ δέον ἀπονέμων σοι σέβας ἀπαντῶν· ἐποίουν δὲ ταῦτα οὐ προσκόψας εἰς σέ, οὐ μικρόν, οὐ μέγα· τοῦτο συνείποις τὸ συνειδός σου καθ᾽ αὐτὸν ἐξερευνῶν καὶ αὐτός· εἰ δὲ τὴν τοῦ τοσούτου χρόνου μῆνιν ὑπὲρ καπνοῦ, τὸ δὴ λεγόμενον, ἐκκλίνων εἶναι, συνειπεῖν ἀποκνήσεις, πολλοὶ τοῦτο βοήσουσι· μαρτυρήσει δὲ καὶ πρὸ πάντων θεός, ὃν λανθάνει οὐδέν· ἀλλ᾽ ἐπεὶ τὴν τότε δῆξιν ὑμῶν ὀστῶν μέχρι διϊκνουμένην καὶ μυελῶν οὐχ οἷός τε ὢν ὑπενεγκεῖν παρηνέχθην μικρὸν ὥσπερ σόφισμα τὴν ἀπόστασιν ἐξευρών, οἰηθεὶς κενὴν ἰὼν γενέσθαί ποτε τὴν φαρέτραν ὑμῶν· |* f. 153v *ἑώρων δὲ καὶ τὸ ὅσον ἐφ᾽ ὑμῖν τὸν καθ᾽ ἡμῶν μᾶλλον ὠδίνοντας θάνατον, ἐκεῖνα ἐποίουν, ὑποκλινῆ με μὴ ὄντα λαβεῖν ὑμᾶς οὐ βουλόμενος λέγειν· ἢ γὰρ οὐχὶ μεγάλα οἴει τὰ καθ᾽ ἡμῶν σου νεανιεύματα; ἆρα δὲ καὶ ἀγνοεῖσθαί τινι ταῦτα ὑπονοεῖς; καὶ τίς σου τὰς φιλοτησίας καὶ προπόσεις καὶ τοὺς λόγους ἐκείνους καὶ τὰς ἐνέδρας καὶ ἱππασίας καὶ τὰς τῶν ὑποσχέσεων τιμὰς ἀγνοήσειεν; ἵνα τί γένηται; ἵνα τὸν ἅλα καὶ τὴν τράπεζαν ὁ μαθητὴς παραβῇ, ἵνα τοῦ διδασκάλου ἔξαρνος γένηται, ἵν᾽ ἀποδῷ τούτῳ θρεπτήρια, τὸ μεγαλύνειν ἐπ᾽ αὐτὸν πτερνισμόν, ἵνα μέδιμνον, τὸ ᾀδόμενον, καταφάγοι ἁλῶν, ἵν᾽ ἀντ᾽ εὐλογίας ἀρὰν ἐπισπάσηται. Τὰ δὲ μετὰ τοῦτο οἷα; τὴν ἐχθρώδη, φεῦ, τῶν μαθητῶν ἀπαντὴν καὶ τὴν ἀφ᾽ ἡμῶν αὐτῶν ἀποστροφήν, τῶν ἀποσυλισμὸν τῶν ἑταίρων αὐτῶν καὶ συμφοιτητῶν, τὴν τῶν φίλων ὅσους μαλθακοὺς εἰς φιλίαν ὁ καιρὸς ἔδειξεν ἀπαγωγήν· ἆρα ταῦτα οὐκ |* f. 154 *ἐκζητήσει θεός; ἆρά σοι γενήσεταί τις ἀπολογία περὶ τῶν τοιούτων ἐπ᾽ ἐκεῖνο τὸ φρίκης γέμον κριτήριον εὐθυνομένῳ; μὴ εἴ τι καὶ παρεσφάλημεν προπαθόντες, οὐ πολλάκις τὴν ὑπὲρ τούτου συγγνώμην ἐξῃτησάμεθα; μηδὲ μακρὰν τῆς σῆς οἰκίας εἶχες ἡμᾶς, ἵν᾽ ὡς πλησίον σοι μὴ ὡς σεαυτὸν ἔστεργες; μὴ τῇ χρονίᾳ σιγῇ καὶ τῇ σκυθρωποτάτῃ διαθέσει καὶ ἀπαντῇ καὶ τῇ μετὰ περιχαρείας περιπλοκῇ οὐκ ἂν καὶ τρόπον ἐξημερώσαμεν βάρβαρον; μὴ τῶν ἀδύτων ἐπιψαύων ἀεὶ πρὶν ἢ διαλλαγῆναι τῷ ἀδελφῷ εἴ τι σοι ἐπεισῆλθε τῆς ἐκείνου διαφορᾶς ὑπόμνησις, μὴ προσφέρειν τὸ δῶρον οὐκ ἤκουσας; μὴ ὅσα περὶ μνησικακίας οἱ θεῖοι νόμοι παρεγγυῶσιν ἠγνόησας; μὴ προκύπτων πολλάκις τοῦ οἴκου τοῦ σοῦ καὶ ἐμὲ βλέπων πρὸς πρόσωπον οὐκ ἐθεάσω νεκρῶν ἐκφοράς; καὶ πῶς οὐ στενάξας καὶ τὸ εὐτελὲς ἡμῶν ἐννοήσας τῆς φύσεως κατέστειλας τὸ τοῦ πάθους ἐξῳδηκός; Ἐμοὶ |* f. 154v *θαυμάζειν ἔπεισι πῶς ὁ πολύς σε χρόνος οὐκ ἔκαμψεν πληγὴν ἡμῖν ἐπενέγκαι καταθρασυνθέντα τοιαύτην καὶ παρὰ τῶν τὴν πληγὴν δεξαμένων ἡμῶν*

---

419 *σκυθρωποτάτη* $A^2$ *σκυθρωποτέρα* A

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

παρακαλούμενον καὶ ὥς τι θήραμα τὴν σὴν φιλίαν ἐξιχνευόντων· πῶς ἡ κυκλικὴ τῶν πέντε ἐτῶν περιφορά, οὐ νυκτός, οὐχ ἡμέρας ἐξεῦρεν ὥραν ἢ μοῖραν ἢ τὸ λεπτότατον τῆς ἐσχάτης ὥρας ὑπομνησθῆναι καὶ τῆς ἀπὸ τοῦ σώματος τῆς ψυχῆς ἐξόδου καὶ τῆς ὑπὲρ ἀργοῦ λόγου ἐκεῖθεν ἀπολογίας, οὐκ οἶμαι γὰρ ἐκείνων τὴν ἀνάμνησιν σχόντα τὰ ἀναπολόγητόν σε παραπέμποντα ἐκεῖθεν ποιεῖν· πῶς δὲ καὶ τὰ νυκτερινὰ ᾄσματα προσέχειν οἷς ᾄδεις οὐ νύττει, ἵνα τὸ σὸν ἀλλὰ μὴ τὸ τοῦ θεοῦ ἐλέγξῃ σε στόμα· εἴθε δὲ μηδὲ τῇ ὀργῇ τόπον διδοὺς κἂν ἐκεῖνο πράττειν ᾑροῦ ὃ πρὸς πολλοὺς ἔλεγες τοὺς εἰς φιλίαν παρακαλοῦντάς σε καὶ ὡς ξένοις τὴν ἔθιμον τοῦ χαῖρε προσφωνῶν ἀπαντήν, ἐπεῖχες τῶν προτέρων σου καθ' ἡμῶν ἀκοντίων· μέρος γὰρ |
f. 155 ἡμῖν φιλίας τοῦτο ἂν ἐλελόγιστο καὶ τῆς τελεωτέρας ἐλπίς· νῦν δὲ ὥσπερ ἐκείνοις οὐκ ἀρκεσθείς, τοὺς ἡμῖν μαθητιῶντας αὖθις ἐπιχειρῶν ἀποσπᾶν, οὐκ ἀνθρώπους αἰδῇ, οὐ θεὸν φοβῇ, καὶ ἐργάτας ἡμᾶς ἀποκαλεῖς σμίλης καὶ καττυμάτων τούς, ἵνα ῥῆμα φθέγξωμαι ἀφροσύνης μέν, ἐχόμενον δὲ ἀληθείας, πολλῶν ὄντας καὶ καλῶν διδασκάλους, τοὺς τούτῳ μόνον σε πλεονεκτοῦντας ἐν γράμμασιν ὀλίγοις, τἄλλα περιφανῆ ὄντα καὶ πλεονεκτικώτατον οὐκ ἀρνοῦμαι, κἂν αὐτὸς ἀρνῇ τὰ ἡμέτερα· ἢ διότι μονῳδίαν ἐφ' οἷς ἐπάθομεν οὐ συνετάξαμεν ἢ ξυναυλίαν οὐ συνεκαλέσαμεν, ἢ διότι ψόγον κατὰ τῶν λυπησάντων οὐ συνεπλέξαμεν, ἄποροι κεκρίμεθα λόγων; τῷ μόνῳ τὴν ἐκδίκησιν ὄντι ποιῆσαι δυνατῷ ἀνεθήκαμεν τὰ ἡμέτερα καὶ ἐκεῖνον ἐπεβοησάμεθα μόνον, εἴ τι καὶ ἡ γλῶττα μικρὸν διωλίσθησε καὶ παρ' αὐτοῦ
f. 155v καὶ παρὰ σοῦ τὴν συγχώρησιν ἐξαιτούμενοι. | διατί δὲ παραβάλλεις καὶ ἑτέροις ἡμᾶς, τὰ ἐκείνων ἐπαίρων, τὰ ἡμέτερα δὲ καθαιρῶν, ὡς ῥήτωρ δῆθεν δεινός; ἀλλ' οὐ λήσεις· καὶ χρυσοῖς γὰρ ξυμβόλοις ὁ πίθηκος, πίθηκος· ἀλλὰ καὶ ἡ παράθεσις ἐκεῖνον μὲν φίλον ὄντα ἐχθρὸν ὅσον τὸ κατὰ σὲ καθιστᾷ, καὶ στάσεις κινεῖ καὶ θορύβους εἰς τὰς ἀμφοτέρων σχολάς, αἵ τοὺς ἡγεμόνας τὰ ἀλλήλων πάντως ἀσπαζομένους ἔχουσαι καὶ τοὺς ὑπὸ τὴν ἐκείνων χεῖρα καὶ πρὸς ἀρετὴν καὶ πρὸς μείζω μάθησιν εἶχον ἐπιδιδόντας· καὶ καλόν σοι φαίνεται τοῦτο ἀναδέχεσθαι τὸ κρῖμα τῶν τοσούτων ψυχῶν; μὴ τοῦ θεοῦ ἄνθρωπε, μή· ἐννόησον τί τῷ τραχήλῳ τοῦ σκανδαλίζοντος ἕνα τῶν μικρῶν ὁ θεὸς ἀπεφήνατο κρεμασθῆναι· ἀλλ' εἴ σοί τι ὄφελος ἐξευρίσκεται ἔλαττον ἐκείνου ἔχειν ἐμέ, ἐγὼ τοῦτο μεγάλῃ ἐξαγορεύσω φωνῇ· οἶδα γὰρ ὁπόσης ἔτι ἐλλείπω μαθήσεως· ἐγὼ τὴν ἐμαυτοῦ ἐκφανῶ ἀγροικίαν καὶ ὃ
f. 156 περὶ τῶν Αἰγιέων ὁ χρησμὸς | εἶπεν, ἐγὼ ἐρῶ περὶ ἐμαυτοῦ· οὐ τρίτος εἶναι, οὐ τέταρτος, οὐ δυωδέκατος, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ· καὶ μόνον ἀπόσχου ἀντὶ τοῦ εἰρηνοποιὸς ὀνομάζεσθαι τὴν ἐναντίαν κλῆσιν προσεπιτρίβεσθαι καὶ σπέρματα τοιαῦτα καταβάλλειν φιλονεικίας μέσον ἡμῶν· ἢ οὐκ

---

443 *τοῦτο* cod. 444 *ὀλίγοις* supra lineam A² 457 *τοῦτο* in marg.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*οἶσθα ὅτι σὺ μὲν φήσεις ταῦτα πολλάκις, οὐ πείσονται δὲ οἱ κἀμὲ καὶ τοῦτον οὐκ ἀγνοοῦντες, οἱ καὶ τὰ ἐμὰ καὶ τὰ ἐκείνου πονήματα βλέποντες· ἐξείργασται γὰρ καὶ ἡμῖν πολλὰ καὶ ἴσως οὐκ ἀπόμουσα, οὐδὲ τῆς ἐκείνου σοφίας ἀπολειπόμενα· προσερρύησάν τινες τῶν ἐμῶν ἐκείνῳ ὑποθήκῃ τῇ σῇ ἀλλ᾽ οὐδὲν ἐξεῦρον παρὰ τούτῳ πλέον σοφίας· καὶ τίς σοι ὁ τοσοῦτος ἀγὼν ἀποδεῖξαι μείζω ἐκεῖνον τοὺς πειθομένους οὐκ ἔχοντι χάριν μίσους τῆς ἁμίλλης οὔσης ἐκείνης ἐπισταμένους· εἰ δὲ ἐν περιωπῇ τοιαύτῃ — αὔξω γὰρ*
f. 156v *τὴν ἐξ ἀνάγκης ἀφροσύνην — καθεξομένων ἡμῶν καὶ τοὺς ὁμι|λητὰς τοσούτους ἐχόντων καὶ τοιούτους καὶ οὐκ ἀρότρων ὡς φῂς ὄντας ἐργάτας, ἀλλὰ λόγων, εἰ καὶ μὴ καλῶν καὶ γενναίων, ἀλλ᾽ οὖν οὐ τοσοῦτον ἐχόντων τὸ ἐπιλήψιμον παρ᾽ οἷς οἱ τοιοῦτοι δοκιμάζονται λόγοι, οὕτως κατεκράτησέ σου τὸ θυμικόν, ὡς ἀγρότας ἐπιφημίζειν καὶ βουκόλους ἡμᾶς καὶ τοῖς παρὰ γελωτοποιῶν συντεθεῖσι ῥήμασιν ὡς καθ᾽ ἡμῶν ἐξευρημένοις ἐπικαγχάζειν, καὶ τοῦτο τῶν ἀδύτων μέσον καὶ ὅτε ὑπὲρ ἁμαρτιῶν ἐξιλασμοῦ ὁ υἱὸς ἐθύετο τοῦ θεοῦ, ὅτε τὰ ἅγια τοῖς ἁγίοις ὁ ἀρχιερεὺς ἐξεφώνει; τί οὐκ ἂν εἶπες, ὄντων ἐν παραβύστῳ καὶ καθάπαξ ἀγνοουμένων; ἀλλ᾽ εἴτι καὶ γέγονεν ἔχων ἔτι παρακαλοῦντά με καὶ τῶν γονάτων σου καθαπτόμενον, ἐπιστράφητι καὶ ὅπερ ὁ πονηρὸς κατέβαλε μέσον τειχίον, κατάσπασον καὶ τὴν φίλην εἰρήνην ἀγάπησον καὶ ὅσα σύνοιδας ἐπταικότι εἰς σέ, διαλαθόντα*
f. 157 *δὲ ἐμέ, ἐπεὶ οὐκ ἦν ὠθούμενον ἐπὶ πολὺ μὴ περι|τραπῆναι, ὅλῃ τοῦτο ψυχῇ ἐξαιτουμένῳ συγχώρησον. μικρὸν γὰρ ὅσον καὶ ὁ κατεπείγων ἡμᾶς ἐπιστήσεται ἄγγελος καὶ μεταμελομένοις τότε οὐκ ἔσται τὸ ὠφελοῦν· εἰ δὲ μὴ τοῦτό σοι φίλον, ὅρα τὰ ἐκείνου μόνα καὶ τὰ ἡμέτερα μὴ περιεργάζου, καὶ αὔλει μὲν καὶ αὐτός, τὸ τῆς παροιμίας, σαυτόν, αὔχει δὲ καὶ τὰ ἐκείνου, ἀλλὰ πρὸς τοὺς σοὶ συνήθεις, πληθύνειν δὲ καὶ τὴν ἐκείνου σπεῦδε διατριβήν, ἀλλὰ μὴ ἐξ ὧν ἀμήσει θέρος ἀλλότριον· οὐδὲ γὰρ ζῆν αὐλητοῦ δεῖ βίον, ὄντα σοφόν· εἰ δὲ μηδὲ τοῦτό σοι φίλον, πέμπε τὰ τοιαῦτα βέλη κατὰ τῶν ἠδικηκότων οὐδέν· ὅρα δὲ μὴ τῶν τοιούτων ἡ τρῶσις βελῶν τὸ σῶμα μὲν τρώσῃ τοῦ βαλλομένου, τῆς ψυχῆς δὲ καθάψηται τοῦ τοξεύοντος· ἓν ἔστω τοῦ λόγου ἀκροτελεύτιον· ἄνθρωποι ὄντες, μὴ ἀσύμβατοι μείνωμεν· τοῦτο γὰρ οὐκ ἀνθρώπων εἴπερ λόγων θεοφόρων ἐνέτυχες, τινῶν εἰρηκότων εἶναι τὸ μάχεσθαι μηδαμῶς, τινῶν δὲ τὸ μετὰ τὸ μαχεσθῆναι χωρεῖν πρὸς καταλ-*
f. 157v *λαγάς, καὶ τι|νῶν τὸ μηδέποτε διαλλάττεσθαι· τὰ παρ᾽ ἡμῶν ἔχεις· δὸς ἡμῖν αὐτός, εἰ βούλει, ἀφορμὴν ἑτέρας ἐπιστολῆς, τῆς καὶ θεὸν εὐφρανεῖν μελλούσης καὶ τοὺς ἀκούοντας· καὶ εἰ τοῦτο παρέξεις, γενήσῃ θᾶττον μετάμελος ὅτι τοσούτους ἡλίους ἐπὶ τῷ παροργισμῷ σου δῦναι ὑπέμεινας· οὕτως ἡμᾶς ὑποπεπτωκέναι σοι ποιήσει τῆς τοιαύτης εὐπειθείας ἡ ἀφορμή.*

---

466 *οἶσθας* cod. 476 post *οἷς* add. *ἐγένετο* A² 501 *δῦναι* : *δοῦναι* cod.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

### *31(30). Τῷ πατριάρχῃ*[1].

### *32(31). Γρηγορίῳ.*

*Τί μὴ τὸ φρόνημα ταπεινὸν φαινόμενος ἔχειν, ταπεινοῦν αὐτό πως δι' ὧν ποιεῖς ἐκβιάζῃ, ὑπαγόμενος οἷς οὐ δεῖ καὶ μὴ προσέχων οἷς δεῖ καὶ ἡμᾶς μὲν παρατρέχων οὓς ἔδει τῶν ἄλλων ὁρᾶν εἴπερ ἐν δίκῃ πράττεσθαί σοί τι διανοεῖται, ἐκείνοις δὲ σαυτὸν μᾶλλον ἐπιδιδούς, ὧν, εἰ καὶ μὴ ἐπισφαλής, ἀλλ' οὖν ἐπιλήψιμος ἡ συνδύασις, φερομένων τὰ πρῶτα κρίσει τίνος οὐκ* f. 158 *οἶδα οὓς καὶ τὸ τρίτα φέρεσθαι πάντως οὐκ εὔλογον. | Ἴθι γοῦν, ὦ λῷστε καὶ δι' ὃ εἵλου τοῦτο ποιεῖν ἀπολογησόμενος καί, ἵν' εἴπω τὶ θαρρήσας, καὶ ἑαυτὸν καταιτιασόμενος.*

### *33(32). Λέοντι.*

*Οὐκ οἶδα τίσι χρησάμενος ῥήμασι τὰ προσήκοντα δόξω λέγειν καὶ καίρια· ἄδηλον μὲν εἰ πρὸς οὓς μὴ κωφεῦον εἰρήσεται, λεχθήσεται δ' οὖν· κἂν μὲν ἐπικλίνοντά σε τὸ τέως κωφεῦον οὖς γνῶ, ἀκούσιον ἔξω λέγειν τὴν κώφευσιν· εἰ δ' ἐπὶ μᾶλλον βύοντα τοῦτο, ζητήσω κἀγώ τινα μῦθον ὡς ὁ Παιανιεὺς κατεπᾴδοντα καὶ πρὸς τὸ ἀκούειν ἐπείγοντα· τί σοι τὸ προβαλλόμενον, ὦ ἀγαθέ, διὸ καὶ ἀπόστασιν οὐκ ὤκνησας μελετᾶν κατὰ τῶν ἠδικηκότων οὐδὲν ἢ τὸ καταψᾶν τῇ χειρὶ καὶ λόγοις δεξιοῦσθαι χρηστοῖς καὶ ὡς ὁμοτίμῳ τὴν κεφαλὴν ὑποκλίνειν ἀεί· ἢ τοῦτο μὲν οὐκ ἂν ἔχοις εἰπεῖν, εἰ μὴ τῷ τῆς ἐμβροντησίας ἔχῃ πάθει, ἑταίρου δὲ καὶ συνήθους ὑπεροψίαν προβάλλεσθαι, τὸ τῆς κυνὸς ποιεῖν λογικὸς ὢν οὐκ ἐρυθριᾷς, τῆς ἢ τὸν βάλλοντα ἀμύνειν* f. 158v *οὐ σπεύδουσα, τὸν ῥιφέντα λίθον τοῖς ὀδοῦσιν ἐμβάλλουσα καὶ τούτῳ προ|σεπιλυττῶσα πολὺ τῆς ὀργῆς ὑφεῖναι δοκεῖ. ὅρα γοῦν μὴ τοῦτο ποιεῖν αἱρούμενος καὶ τοὺς διδασκάλους ἀποσειόμενος καὶ τῶν θυρῶν αὐτῶν ἔξω βαίνειν οὐ δεδιὼς καὶ ἀντὶ τιμῆς ἀτιμίαν τούτοις περιτιθεὶς ταῖς οἰκείαις πάγαις περιπαρῇς καὶ τὸ Δωδώνης χαλκεῖον ἐπὶ σαυτὸν ἀνεγείρῃς.*

### *34(33). Ἰωάννῃ καὶ Πέτρῳ βασιλικοῖς κληρικοῖς ἐν ἐξορίᾳ οὖσιν.*

*Γράφειν βούλομαι μέν, δεύτερον γὰρ τοῦτο τῶν ποθούντων ἴδιον, ὅταν τὸ πρῶτον, φημὶ δὴ τὸ τῆς θέας, ἀπῇ, κατέχομαι δέ, ὅτι μὴ πρὸς εὐφραινομένην ψυχὴν τοῦτο ποιεῖ· οὐ γὰρ ἡδύνειν μόνον, ἀλλὰ καὶ πλέον οἶδεν τοῦτο πολλάκις ἀλγεῖν· οἷα γὰρ ἂν ᾖ τῶν πρὸς οὓς γίνεται τοῦτο ἡ διάθεσις, τοιαύτη τις ἐστὶν πάντως καὶ ἡ δύναμις τῆς γραφῆς· κἂν μὲν χαίρου-*

---

507 inter *ἔδει* et *τῶν* addendum puto *πρό* 518 *ἐπείγοντα* A² *ἐπάγοντα* A
523 *ἢ : ἣ* cod. 525 *ὑφεῖναι : ὑφέναι* cod. 532 *ποιεῖ* A² *ποιῶ* A

---

[1] «Ἀθηνᾶ», 58, 1954, 193.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*σαν εὕροι ψυχήν, οὐδὲν αὕτη λυπηρὸν ἔχουσα, τὴν χαρὰν ἐπιτείνει· σημεῖα
δὲ καὶ ταύτην ἔχουσαν λύπης καὶ ὁμοίᾳ ἐντυχοῦσαν ψυχῇ τίς ἂν εἴποι μὴ
τὸ ἴσον πάθος ἀπογεννᾶν; ἀλλ' ἐπεὶ εἰ καὶ μὴ ἀφαιρεῖν οἶδε, μικρὰν γ' οὖν*
f. 159 *τινα ἐπεισφέρειν | δρόσον ἀναψυχῆς ἡ διὰ τῶν γραμμάτων παραψυχή· γίνε-
ται γάρ τις ἐκ τούτου τοῖς ὀδυνωμένοις κατάπαυσις, ὥσπερ ἀνημμένῃ φλογὶ
καὶ βραχέος ἐπίχυσις ὕδατος τὸ πλέον τῆς ὑμῶν ἀφαιρήσειν λύπης εἰδώς,
ὅτι μηδὲ πρὸς ἀνήκοον οὓς τοῦτό μοι γίνεται· ζῆν γὰρ ὑμᾶς ἐπίσταμαι κατὰ
θεὸν καὶ τοὺς διὰ θεὸν ὡς τῶν τοῦ πνεύματος οὐκ ἀμοίρους λόγων διαπεί-
ρας ἔχειν κακοπαθήσαντας γράψαι προήρημαι νῦν· τί ἐστι τὸ λυποῦν ὑμᾶς
καὶ τὴν ἀφόρητον θλῖψιν ἐμποιοῦν; ὅτι μηδὲν ἐπταικότες καὶ τῶν βασιλείων
καὶ τῆς πόλεως αὐτῆς ἀπηλάθητε; καὶ τοῦτο ἦν ὑμῖν αἱρετὸν σφάλμασιν
ἁλῶναι καὶ δικαίως ὃ νῦν ὑπέστητε παθεῖν καὶ τὴν πρὸς πάντων ἄρασθαι
κατηγορίαν, ὡς ἰδοὺ ἄνθρωποι ἐν τιμῇ οὐ συνήκασιν ὄντες, καὶ μισθὸν ὑπὲρ
τοῦ τοιούτου μὴ ἐλπίζειν ἀπὸ θεοῦ; ἀλλ' οὐκ ἂν τοῦτό τις αἱρήσεται, καὶ
μικρᾶς φρενὸς εὐμοιρῶν, μήτι γε ὑμεῖς· ἀλλ' ὅτι φίλων καὶ οἰκείων ἀπε-*
f. 159v *ξενώθητε, μὴ φέρειν τὸ συνάντημα | δύνασθε· ἀλλὰ πρῶτον μὲν ἐννοεῖν
ὑμᾶς δίκαιον, ὡς οὐδεὶς ἀπείραστος τοῦ βίου τούτου ἴσχυσεν ἀπελθεῖν. πῶς
γὰρ ἂν ἐλπίσειέ τις ἐκεῖθεν κἂν μικρὸν ἔλεον ἐπισπάσασθαι χωρὶς τῆς
ἐντεῦθεν θλίψεως ἀπελθών; ἔπειτα δὲ οὐδὲ τῇ ἀποξενώσει τῇ ὑμετέρᾳ καὶ
τὸ τῶν ἀγαπώντων ἀπεξένωται φίλτρον. τὸ γὰρ ἀδίκως τοῦτο παθεῖν καὶ
τοὺς ἐχθροὺς αὐτοὺς πρὸς φιλίαν ὠθεῖ· ἐπεὶ οὖν τὸ χωρὶς αἰτίας τοῦτο
παθεῖν καὶ εἰς ἐλπίδας ὑμᾶς ἄγει χρηστὰς καὶ τῶν φίλων ἐπὶ πλεῖον αὔξει
τὸν πόθον καὶ τὸν τῶν πολλῶν ὑποτέμνει φθόνον καὶ τὸ τῆς ὑμετέρας
ἀνδρεῖον ἐμφαίνει ψυχῆς καὶ τὸν τοῦ θεοῦ ὃς οὐκ ἐάσει ὑμᾶς ὑπὲρ ὃ δύνα-
σθε πειρασθῆναι ἔλεον ἐκκαλεῖται, εἴπερ οὐ προέσθαι ῥῆμα θελήσετε βλά-
σφημον, καὶ μακαρισμοῦ ὑμᾶς ἀξίους δείκνυσιν ἀποστολικοῦ· μακάριος γὰρ
φησίν, ἀνήρ, ὁ θεῖος Ἰάκωβος, ὃς ὑπομένει πειρασμόν, ὅτι δόκιμος γενόμε-*
f. 160 *νος λήψεται τὸν στέφανον τῆς ζωῆς· οὐ χρὴ θλίψει | καταμαλακισθῆναι
πολλῇ, ὥς τι δὲ δοκίμιον ἐπιγενέσθαι τῆς ὑμετέρας ἡγεῖσθαι τὸ συμβὰν ἀρε-
τῆς· χρυσὸν μὲν γὰρ ἡ τοῦ πυρός, ἄνθρωπον δὲ ἡ τοῦ πειρασμοῦ φύσις λαμ-
πρότερον ἀποδείκνυσιν· αἰσχρὸν γὰρ τῶν ἔξω τινάς, τὸν μὲν διαβληθέντα
καὶ τῷ κωνείῳ ἤδη τῆς ζωῆς ἀπορραγήσεσθαι μέλλοντα, γυναικὸς καὶ παί-
δων ὀλοφυρμῶν καὶ θανάτου καταφρονῆσαι καὶ μηδέ τινων περισῶσαι δυνα-
μένων αὐτὸν ἀνέξεσθαι, διὰ τὸ σφόδρα θαρρεῖν ἄδικον εἶναι τὴν ἀπαγωγὴν
ἐκείνην, τὸν δὲ δεσμῷ κατειλημμένον δεινῷ, τοῦ δεσμοῦ τὴν λύσιν μὴ κατα-
δέξασθαι, πρὶν ἢ ψευδὴς ἡ ἐπ' αὐτῷ δειχθῇ διαβολή, ἄλλον, ἵνα τὸν δοθέντα
ὅρκον μὴ παραβῇ, διαβολῇ μοιχείας ψευδοῦς πατρικὴν φυγαδείαν καταδε-*

---

554 *τὸ* : *τῷ* cod. 555 *τὸ* : *τῷ* cod. 556 *πόθον* A$^2$ *πλοῦτον* A 566 *ἤδη* addit A$^2$ 569 - 570 *καταδέξασθαι* A$^2$ *καταδέχεσθαι* A

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*ξάμενον, οὐδὲν ἑαυτῷ συνειδότα κακόν, ὑμᾶς δὲ μήτε ὡς περὶ τῆς μελλούσης φιλοσοφοῦντας ζωῆς, μήτε μυρίοις παραδείγμασι παρακαλουμένους ἀθυμίᾳ* f. 160v *τοσαύτῃ περιβαλεῖν ἑαυτοὺς καὶ οὐ τὸ πᾶν ἀναθεῖναι τῷ θεῷ | τῷ τῆς ἐπηρείας ταύτης θᾶττον ἀπαλλάξαι δυναμένῳ ὑμᾶς· δι᾽ ὧν γὰρ αἱρεῖσθε ποιεῖν καὶ τοῖς φίλοις ἀκηδίας καὶ τοῖς ἐχθροῖς μανίας καὶ ἑαυτοῖς ἀχρηστίας πρόξενοι γίνεσθε. μένετε γ᾽ οὖν εὐχόμενοι καὶ τὸν λογισμὸν πρὸς τὴν ἄνω ῥοπὴν ἔχοντες καὶ πάντως οὐ ματαία ὑμῶν γενήσεται ἡ ἐλπίς. τίς γὰρ ἤλπισεν ἐπὶ Κύριον καὶ κατῃσχύνθη, ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ καὶ ὑπερεῖδεν αὐτόν; ἐμοὶ δὲ γένοιτό ποτε χαίροντας ὑμᾶς κατιδεῖν καὶ τὸν πρὸς ὑμᾶς εἰ καὶ μὴ πρότερον ἀφοσιώσασθαι πόθον.*

### 35(34). *Τοῖς αὐτοῖς.*

*Κυβερνήτης ἐκεῖνος θαυμάζεται οὐχ ὁ νηνεμίας οὔσης, ἀλλ᾽ ὁ σφοδρᾶς ἐπηρτημένης ἀνάγκης τὸ σκάφος εὐθύνων καλῶς καὶ τῶν ἀρίστων καὶ βελτίστων ἀνδρῶν αἱ ψυχαὶ οὐχ ὅτε κακῶν ὦσιν ἀπείραστοι δοκιμάζονται, — πῶς γὰρ ἂν καὶ γνωσθείησαν πείρας χωρίς; — ἀλλ᾽ ὅτε καιρὸς αὐταῖς ἐπιστῇ περιστάσεως. ἐπεὶ οὖν καὶ ὑμῖν τοιαύτη περιέπεσε συμφορὰ καὶ ταύτῃ* f. 161 *δέον γνωσθῆναι τὸ | τῆς ψυχῆς ὑμῶν εὐσθενές, μήτι τῶν ἀπεικότων αἱρεῖσθε ποιεῖν ἀγεννῶν ὡς ἀληθῶς καὶ ἀγνωμόνων προβαλλόμενοι ῥήματα, ὁποῖα δ᾽ εἰκὸς εὐσεβεῖς ἄνδρας φρονεῖν καὶ διανοεῖσθε καὶ λέγετε, εἷς τ᾽ ἕνα διεγείρων καὶ τοῦ τῆς ἀθυμίας νέφους ὑπεξιστῶν, καὶ ὁ μὲν τὸν Ἀβραὰμ εἰς μέσον ἀγέτω, ὅπως τῆς οἰκείας ἀπαναστὰς πατρίδος μετοίκου καὶ φυγάδος ἐβίου ζωὴν καὶ πῶς νῦν μὲν γυναικὸς ἀποκλαιόμενος ἁρπαγήν, νῦν δὲ περὶ τῆς οἰκείας δεδιττόμενος σωτηρίας καὶ μυρίαις ἄλλαις περιστοιχιζόμενος συμφοραῖς, οὐ προεδίδου τὴν ἀρετήν, ὁ δὲ τὰ τοῦ Ἰακὼβ ἐπαδέτω ῥήματα, ὃς μικρὰς αὐτοῦ καὶ πονηρὰς ἔλεγε τὰς ἡμέρας διερωτώμενος· καὶ νῦν μὲν ὁ Ἰωσὴφ ὑποδείγματι θέσθω μέσον ὑμῶν ὑπομονῆς, ὑπὸ τῶν οἰκείων δουλούμενος, ἔτεσι πλείστοις μετὰ τῶν θεὸν οὐκ εἰδότων σκηνούμενος, νῦν δὲ ὁ Ἰὼβ παραβαλλέσθω πολλῶν δυνάμενος πεῖσαι ψυχὰς τὰ* f. 161v *προσπίπτοντα φέρειν ἀνδρικῶς· οὕτω γὰρ ἀλλήλους | ὑπαλείφοντες καθ᾽ ἑκάστην καὶ τοῦ συμβάντος δυσχεροῦς τὴν ἀπαλλαγὴν θᾶττον εὑρήσετε καὶ τῆς ψυχικῆς ὑμῶν πρόξενοι σωτηρίας γενήσεσθε.*

### 36(35). *Μιχαὴλ μαΐστορι.*

*Φροντὶς ἡμῖν οὐδεμία περὶ τοῦ δεῖνος ἢ περὶ τοῦ δεῖνος οὓς παρασπᾶτε τοῦτο μὲν ὡς ὁ λόγος ἔχει δι᾽ ἑαυτῶν, τοῦτο δὲ δι᾽ ἑτέρων προσώπων θυροκοπούντων ἄλλως καὶ ὡς εἴ τινας αἰχμαλώτους ἡμετέρους ὄντας ὑπα-*

---

578 *τίς : τί* cod. 592 *ἀπαναστὰς* A² *ἐπαναστὰς* A

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*γομένων πρὸς ἑαυτοὺς τρόπον μιμουμένους κυνῶν, οἳ τοῖς θηρευταῖς τάχει τε ποδῶν καὶ ῥινὸς ὀσφρήσει τὸ θηρεύεσθαι μέλλον δεικνύειν ἔχοντες ἕπονται· καὶ χάριν τίνος παρερρωγότες οἱ λόγοι καὶ τὸ ἀπηχὲς ἔχοντες ἢ ἀνάρμοστον εἰ μὴ φροντὶς ἦν τῇ παρασπάσει καὶ τὸ γράμμα παρείπετο, ὅτι πῶς ἠθελήσαμεν ἐρέσθαι δι' αὐτοῦ λέγοντες ἀγαπᾶν στῆσαί που τοῦ μὴ ἀγαπᾶν οὐκ ἠρκέσθητε καὶ ὅτι πῶς ἐγκαλεῖσθαι συνείδετε ὃ ἡμῖν ἐγκαλεῖν ἀνεγκλή-* f. 162 *τοις οὖσιν οὐκ ἐνετράπητε· ἀπευκτὸν γὰρ | ἡμῖν ἔδοξε τοῦτο παντάπασι καὶ χριστιανικῆς ἀλλότριον καταστάσεως, παραπείθειν τινὰς ἀποσπᾶν ἑτέρας διατριβῆς, ἐπισπᾶσθαι δὲ πρὸς ἑτέραν καὶ ὅτι πῶς οὐδὲ διαπέμψασθαι μέρει καὶ τοῦτο φιλίας ὄντι διέγνωτε πρὸς ἡμᾶς, εἰ τὴν ἐκείνων πρόσληψιν οὐκ αὐθαίρετον λέγετε. τούτῳ σοι, ὦγαθέ, τῷ σκοπῷ τὸ ἡμέτερον ἐπέσταλται γράμμα, ἵν' εἰδῇς ὅτι καὶ ἀναισθήτως οὐκ ἔχομεν καὶ τῷ αἴσθεσθαι τὴν ἀγάπην ὑπορρέειν οὐ θέλομεν καὶ ὅτι πάθει φεύγειν αὐτὸς οὐχ ἕξεις ψυχῆς ὃ ποιεῖ τὴν συγγνώμην· γνώσει γὰρ οὐκ ἀγνοίᾳ τὸ δρώμενον.*

### *37(36). Κωνσταντίνῳ βεστήτορι μαθητῇ.*

*Σκιᾶ ἡμῖν ἴσα καπνοῦ τὰ ὑμέτερα, τὸ κακὸν ἰωμένων κακῷ· οἷς γὰρ ἡ τοῦ καλοῦ γνῶσις τῇ παραδρομῇ τῆς ἡλικίας ἠγνόηται τῆς ἀγνοίας τούτου προσποιωθείσης αὐτοῖς τί τὸ καταπραττόμενον τούτοις, ἢ οὐδὲν τοῖς φρονοῦσι νομίζεται; τραχεῖ μὲν ἐχρησάμην τῷ προοιμίῳ, ἀληθεῖ δέ. κέρκῳ* f. 162v *σαίνειν γὰρ | ὡς οἱ κύνες ὃ βλέπω ποιοῦντας ὑμᾶς οὐκ ἐπίσταμαι, ὃ καὶ διδασκάλοις ὀφειλομένων ἐπιτυχὼν μαθητῶν ὑμῶν ἀναφανέντων χρηστῶν ποιεῖν ὑπέλαβον ἀπρεπές, ἀπολογεῖσθαι δὲ ὑμῖν οὐ βουλόμεθα, μνησικακεῖν ἐγκαλούμενοι· διατί; ὅτι παρὰ μεθυόντων καὶ τὸ δρώμενον ἡμισφαίριον ἐπ' αὐτοὺς οἰομένων ἀλλοιώσει πεσεῖσθαι φρενῶν, οἷς τὸ μήτε μεθύουσι μεθύειν, μήτε παραφρονοῦσι παραφρονεῖν διατείνεται, νουθετούμεθα σωφρονεῖν· ἀλλ' εἰ μὲν πλησιάζοντας καὶ διαλύειν ἀπεκρουόμεθα ὃν ἔδησεν ὁ Σατανᾶς πειρωμένους δεσμὸν ἢ προλαμβάνοντας ἐπείχομεν τῷ πρώτους προστρέχειν ἡμῖν μέγα ποιοῦντας οὐδὲν — τί γὰρ ἂν ἐποιεῖτε μέγα, διδασκάλῳ κεφαλὰς ὑποκλίνοντες μαθηταί, χρηστὸν οὐδὲν ἐργασάμενοι; — εὔλογον ἦν τὸ παρ' ὑμῶν ἐγκαλούμενον ὡς θεοῦ ἀγανάκτησιν ἐκκαλούμενον· εἰ δὲ καὶ ἀφηνιῶντας ἡμέρως ἐφέλκοντες καὶ ἀποπηδῶντας ἐπανάγοντες καὶ |* f. 163 *φιλοῦντες ἐμπτύοντας ὅτι μὴ πρὸς τὸ καλὸν ἕλξειν ἐσμὲν δυνατοί, καταγινώσκειν μόνον τὴν πώρωσιν τοῦ νοὸς ὑμῶν ἔχομεν, μνησικακίας ἔχεσθαι πάθει κρινόμεθα παρὰ τῶν πῶς εἴπω οὐκ οἶδα ὑμῶν, ἄλλον τοῦ τοιούτου ἐπιζητοῦμεν κριτήν, ἐξ ἀτέχνων ἐπάγοντα πίστεων καὶ τὴν νικῶσαν ψῆφον καὶ κατακρίνουσαν. σοὶ δὲ — χρηστὸς γὰρ καὶ τὰ τροφεῖα καλῶς ἀποδεδωκὼς*

---

607 malim *μιμουμένων* 609 *ὁ γὰρ ἐρρωγότες* cod. 617 *τουτο* cod.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*λογίζεσθω — τοῦτο καλόν, ἥττονος εἶναι μαθητοῦ τὸν διδάσκαλον μοίρας, καὶ ἐκεῖνον ἢ τοῦτον προκρίνεσθαι καὶ φιλεῖσθαι, ὅτι ἐκεῖνος μὲν τῷ εἰς ἑαυτὸν ἐπισπᾶν τοῦ διδασκάλου καὶ τῶν ἄλλων συμμαθητῶν ἀποσπᾷ, ὁ διδάσκαλος δὲ τῇ προσαγωγῇ τοῦ ἑνὸς συνενοῦν τοὺς πάντας μετ' ἐκείνου παρακαλεῖ.*

### *38(37). Χριστοφόρῳ βασιλικῷ κληρικῷ καὶ χαρτουλαρίῳ τῆς Νέας Ἐκκλησίας.*

*Ὡς τί τοῦτό σοι τὸ ῥῆμα τῆς τῶν πολλῶν οὐκ ὄντι μοίρας προτέθειται, τὴν ἐξ ἡμῶν ἀφαίρεσιν, ἀλλαχοῦ δὲ ἀποκατάστασιν ἀποτεινόμενον τοῦ*
f. 163v *ἀδελφιδοῦ, ὡς λυπῆσον ἢ ὡς παραθῆξον; | κἂν μὲν ὡς λυπῆσον προήνεκται, ἀνοίας ἀποίσειν ἡμᾶς οἴει γραφὴν περὶ τῶν οὐ λυπούντων ἑλομένους λυπεῖσθαι, εἰ δ' ὡς παραθῆξον, ἀγνοεῖν μοι τί τὸ παραθῆγον εἶναι δοκεῖς. εἰ γὰρ ἐγὼ ὅτι μὴ ταχείᾳ πτερῶν προβολῇ πέτασθαι ἀπτέρους ὄντας ποιῶ, μᾶλλον δ' ὅτι μὴ τὴν Αὐγείου κόπρον αὐθωρὸν ἐξεκάθηρα μετὰ τὴν πολλὴν αὐτῆς τέως ἀποκάθαρσιν, ἐγκαλούμενος, πῶς ὁ μηδ' ὁτιοῦν συνεισενεγκὼν τοῖς ἤδη πονηθεῖσιν ἀνέγκλητος; ταῦθ' ἡμῖν παίζουσι, τὸ δέ τι καὶ σπουδάζουσιν εἴρηται· πλείω γὰρ ἢ μαλακώτερα σοφίας εὐμοιρήσας, οὐκ ἀγαπήσει ἀνήρ· τῶν μὲν γὰρ ἕξει τοῖς βραχέσι τὴν εἴδησιν, τῶν δέ, φίλαυτος οὐκ ὤν, ἀποδιοπομπήσεται τὸ ἡδύ· πέρας τοῦ λόγου πύξου τισὶ κατωρθόθι σπάνις γενήσεται ἢ τούτῳ παιδείας, ἐπακολουθοῦσαν εἰ σχοίη τὴν ὑμετέραν οἶδας ὃ λέγω χεῖρα, μαθητιῶντι ἡμῖν.*

### *39(38). Τῷ αὐτῷ ἀντεπιστείλαντι.*

f. 164 *Καὶ τί ἂν ἄλλο δεινὸς ἐξεργάσεται ῥήτωρ, ἢ μὴ | τῇ παραγραφῇ τὸ δικαιοῦν αὐτὸν καθαιρεῖν, συνιστᾶν δὲ μᾶλλον οἷς ἡ τέχνη δίδωσι τόποις τὰ ἑαυτοῦ· ἐπεὶ οὖν οὐ παρεγράψω τὰ ἡμέτερα μόνον, ἀσθενῆ δὲ ταῖς ἀνθυποφοραῖς ἔδειξας καὶ ἀνίσχυρα, δεύτερος οὗτός σοι τῶν ἡμετέρων ἔσται γραμμάτων ὁ πλοῦς, ὅτι μὴ τῷ πρώτῳ οὐρίῳ πνεύματι τὸ ἱστίον ἐλύσαμεν. πνεῦμα γὰρ οὐκ ἂν περιρρῆξαν βίαιον τοῦτο κατὰ πελάγους ὦσαι τοῦ φέρεσθαι· χρήσομαι δὲ τοῖς σοῖς οὐκ ἀπομαχόμενος, ἀλλά τι καινῶς εἰπεῖν προεξευρίσκων τῇ ἀνασκευῇ θαυμαστόν, πρόφασιν τῷ βάλλειν τοῦ βάλλεσθαι καὶ νικᾶσθαι διδοὺς τῷ νικᾶν. ὑπεξίσταται γὰρ καὶ νὺξ ἡμέρᾳ καὶ ἡμέρα νυκτὶ καὶ τῇ ἑκάστης ὑποχωρήσει διαφορὰν ὁ τοσοῦτος χρόνος οὐκ ἔδειξεν· εἰ τὸ παραθῆγον εἶπες οὐκ ἀγνοεῖν ἄρκυσιν οἰκείοις ἔχεσθαι λέγεις, δυοῖν ἐκλέγων τὸ ἕτερον, ἢ τῷ ἀφιλοτίμῳ κατασιγάζων σου τὸ ἁπλοῦν ἢ τῇ συστολῇ μεγαλύνων τὸ ἀφιλότιμον· ἐπεὶ πῶς ὁ διατεινόμενος τί τὸ παρα-*

---

670 † *ὥσετοῦ* cod. *ὦσαι τοῦ* Tomadakis

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

f. 164v θῆγον οὐκ ἀγνοεῖν γραφὴν | ὑφέξειν ᾑρετίσατο συνειδότος; τὸ μισθοὺς καὶ ἀπαιτεῖν οἶδα προβαλῇ μετὰ τὴν εἰς τέλος τοῦ ἔργου προαγωγὴν ὡς μικρόψυχος, εἶτα τῶν μικρολόγων ἀνθυποφέρων καὶ τῶν ἀποκλειόντων τοῖς ἐργολάβοις ἀφορμὰς εὐπροσώπους οὐκ ὢν τῷ ἁπλῷ τῆς προθέσεως· εἰ γὰρ ὁ τοῦ ἔργου τούτου καταβαλλόμενος πόνος ἀκατάβλητον ἕξει πρὸ τῆς ἀποπερατώσεως τὸν μισθόν, καὶ τοῦτό σοι τῷ χρηστῷ καταφαίνεται δίκαιον, ὥρα σοι καὶ πίθῳ τετρημένῳ καταδικάζειν ἡμᾶς ἐπαντλεῖν καὶ μαθητὰς ἀντὶ διδασκάλων ποιεῖν, ὅτι μηδ' ἀρχὴν ἐξειλήφαμεν μαθητείας τῆς ἀγνοίας πλεονεκτούσης τὸ γινωσκόμενον· ὅτι δ' ἡ παίδευσις ἀνέσπασεν ἡ ἐμὴ τὰ προσόντα τούτῳ πτερά, μὴ θαυμάσῃς· τίλλονται γὰρ καὶ κατοικιδίοις ἀναμιγνύμεναι ὄρνισιν ὄρνεις ἀλλότριαι, τῇ ἑτέρων ἅμα πτερῶν ἐκβολῇ αἷς ἐτάχθησαν συναγελάζεσθαι ἐθιζόμεναι.

### 40(39). Τῷ πρωτοασηκρῆτις.

f. 165 Οὐκ ἐλέου προβολῇ | ὅτι μηδ' ἔλεον θηρῶμαι συνεῖδον προοιμιάσασθαι, οὐδ' αὖ τῇ ἰδιωτῶν ἀποχρήσασθαι φωνῇ, ὅτι μοι πρὸς ἀττικιστὴν καὶ πατέρα τῶν λόγων ὁ λόγος· οὐκ ἔμελλεν ὅδ' ὁ νῦν ἀπολείπεσθαι χρόνος ἀνδρῶν ἀγαθῶν· πῶς γὰρ ἂν τοῦ κοινοῦ διῳκεῖτο ἡ ἐπιστασία καλῶς σαλευομένων ἡμῶν ὡς ἔτυχεν καὶ τὸ ἧττον ἐν ἅπασιν ἀποφερομένων τῶν ὀφειλόντων μοίρᾳ κεκρίσθαι τῇ μείζονι· ἐπεὶ οὖν ὁ ψυχῇ σώματι τοῖς ἐκτὸς τῷ ὄντι μέγας καὶ ὑψηλὸς πολλοὺς τὴν σὴν ἐξαιτουμένους πρόσληψιν ἔχων ὁρᾶν ἐκεῖ τὸ καλῶς σκοποῦν ἐπέστησας ὄμμα οἷ παιδείας ἣν μερίδα θεάσασθαι, καὶ τῷ λογισμῷ τούτῳ προκέκριταί σοι τῶν ἄλλων ὁ ἡμέτερος μαθητής, ἕξεις δοῦλον καὶ τὸν διδάσκαλον ὑποπτήσσοντα τὴν ἐγγύα παρὰ δ' ἆτα φωνὴν οὐδαμῶς· πιστεύω γὰρ καὶ τὸ θαρρεῖν ἔχω τοσοῦτον ὅτι κἂν τῷ ἀφανεῖ νῦν ἡ πίστις ἀργῇ ἐνεργήσασα τῷ ἐκβησομένῳ Ζώπυρον ἀποδείξει f. 165v τοῦτον, οὐ Τάνταλον, | Βαβυλώνων πολλῶν προκρινόμενον, οὐ τροχῷ ἀερίῳ κατατεινόμενον.

### 41(40). Θεοφίλῳ ἀσηκρῆτις.

Εἰ μὴ τῷ μὴ ὁρατῷ περιπλανῶμαι τὸν νοῦν, τῷ ὁρωμένῳ πείθειν ἐμαυτὸν ἔχω, ὡς ἀνὴρ οὐ τῶν πολλῶν οὐδὲ τῶν ἐξ ἀγορᾶς σὺ φιλεῖν ἀδόλως τοὺς φιλοῦντας εἰδώς, ἐξιλεοῦν δὲ καὶ τοὺς ἐχθραίνοντας τῷ Εὐκλείδου πειθόμενος ὑποδείγματι· ἡ πειθοῦς δέ μου κρίσις οὐχ ἁπλῷ κατακρατεῖ τῷ σκοπῷ, ἀκοῆς δὲ προκαταλήψει πρῶτον καὶ συνουσίας δοκιμασίᾳ. πῶς γὰρ ἂν μετὰ τὴν πεῖραν ἐλογιζόμην ὁ παιδείας οὐκ ἀφισταμένος, εἴς τι τῶν ἀνοικονομήτων ἔσται κατάφωρος καὶ πῶς οὓς τῷ φαινομένῳ πρὸς ἑαυτὸν ἐκβιάζεται τῷ ἀφανεῖ διιστᾶν ὁ τοιοῦτος κριθήσεται, πῶς δὲ ὁ ὢν τῷ στρεβλῷ τῶν ἄλλων κανὼν στρεβλοῦν ἑαυτὸν δέον τῷ ὀρθῷ προσέχειν μᾶλλον ἐξεικασθήσεται; ταῦτα περιστρέφων ἔστεργον ἐκ ψυχῆς· ἀγαπῶ δὲ καὶ

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*νῦν τούτου μὴ ἐκπεσεῖν, ὡς ὁ τῶν ἀδήλων οἶδε γνώστης θεός. καὶ τί σὲ τὸ* [f. 166] *παραπεῖσαν, ὦ γενναῖε, τὴν χρηστὴν | μεταθέσθαι προαίρεσιν καὶ πρὸς τὰ δι' αἰδοῦς ὄντα καὶ τοῖς οὐ κατὰ σὲ χωρῆσαι σοφοῖς; ἢ καθ' ἡμῶν οὐκ οἴει κατ' ἄλλων δὲ τὴν γλῶτταν παραθῆξαι πρὸς λοιδορίαν; ἡμᾶς παῖσαι λόγισαι πλέον καὶ τὴν ἡμῶν διαλύειν οἷον φιλίαν, εἴπερ τῷ σῷ λογιστέον πατρὶ τὴν εἰς σὲ τινῶν ἀτιμίαν ἢ καὶ διάστασιν. ἕνωσον τὸ διαστᾶν, στρεπταὶ γὰρ φρένες ἐσθλῶν, καὶ πολλῷ πλέον σφίγξεις ἡμῶν τὸν δεσμόν. καταιδέσθητι τὰς εὐκταίας τῶν κατακουόντων φωνάς, τὰς ἀπευκταίας ἀποτρεπόμενος· τῶν μὲν γὰρ ἐπιεικεῖς, ὅτι συνήθης, ὅτι χρηστός, ὅτι παιδείᾳ συζῶν, τῶν δὲ τραχεῖς, ὅτι ἰταμός, ὅτι λοίδορος, ὅτι πλήρης ἰοῦ, ἃ πρὸς σοφὸν ῥηθῆναι δέον, κἂν ἡ συνθήκη τούτων ἄσοφος εἶπον· ἔξεστί σοι λοιπόν, ὦ θαυμάσιε, τῷ ἐντελεῖ τῆς ἡλικίας τοῖς ἐν τέλει καταλεχθέντι, ἃ τῷ ἀτελεῖ ποιεῖν οὐ πεφώρασαι τῆς ἡλικίας τὸ τούτων ἀπρεπὲς ἀναλογισαμένῳ καὶ νῦν ταῦτα μὴ δρᾶν· δηλώσει δὲ τὴν ἀποτροπὴν ἡ τοῦ ζητουμένου ἀποστολή.*

## 42(41).

[f. 166v] *Κἂν τὸ θεᾶσθαί σε τοῖς σωματικοῖς | ...ὀφθαλμοῖς τῆς τοῖς καρδίας φανταζόμεθα βλέπειν σε τῇ τῶν ἀπαγγελλομένων περὶ σοῦ ἀγαθῇ νυττόμενοι φήμῃ, τὸ αὐτὸ δὲ καὶ σὲ περὶ ἡμῶν ἔχειν πειθόμενοι, τοῦτο ποιεῖν ἔδοξα τοὺς ἀμφοτέρους καλόν, γράμμασιν ἀλλήλοις ἀσπάζεσθαι καὶ τούτοις τὸν προσόντα πόθον ἀλλήλοις δηλοῦν.*

## 43(42). Ἐπιφανίῳ διακόνῳ.

*Βραδὺς ἐγὼ πρὸς τὸ κατακούειν διαβολῶν καὶ πρὸς τὸ πιστεύειν οὐκ εὐπειθής· πείρᾳ δὲ τοῦτο κατορθοῦν ἐδιδάχθην, οὐκ ἀρετῇ ὅσον οὐκ ἄλλος ἁλίσκεσθαι πρὸ τῆς πείρας εἰς ταῦτα πρόχειρος ὤν· ἀνυπόστατα δ' οὖν καὶ τραγικῶν τινας ἴσα χορηγημάτων ἀνατυποῦντας πολλάκις θεασάμενος πλάσματα τὴν μετὰ ταῦτα πρῶτον συναπαχθεὶς ἀλήθειαν ἐπιγνούς· ὅθεν ἡ τῆς κινήσεως αἰτία τούτων ἐζήτουν, καὶ ζητῶν ἐμαυτὸν οὐχ ἕτερον εὕρισκον* [f. 167] *αἴτιον· ὦτα γὰρ ἐπικλίνων τοῖς ἐθέλουσι λέγειν, πολλοὺς ἔπει|σα καὶ τὰ οὐκ ὄντα καθυποκρίνεσθαι. ἀποφράττειν οὖν ἐκείνοις τὴν εἴσοδον ὀψὲ διαγνούς, ἀδιεξόδευτον τὴν εἴτε ἀλήθειαν εἴτε ὑπόκρισιν ἐποιησάμην αὐτῶν· κἂν οὐκ ἀπαθῆ με ἡ φύσις ἐᾷ δι' ὅλου ἡ ἀσθενὴς τὸ πρὸς τί ταῦτα εἰπεῖν ἀναλογίσασθαι αὐτὸς ἱκανός, ἐξεταστὴς ἔστω τῶν λεγομένων θεὸς ὡς πολλῶν ἐκεῖνα λέγειν ἐχόντων, ὅτι ἀμνήμων, ὅτι ἀχάριστος, ὅτι παραλογιστὴς καὶ τὰ τὴν ψυχὴν αὐτὴν δάκνοντα, ὅτι ὑβριστής, ὅτι λοίδορος, οὐχ ὑπέθηκα ἐμὸν οὓς. τί διανοούμενος, ὅτι παιδευτήν, ὁδηγὸν τοῦ καλοῦ, πορισμῶν βίου προφά-*

---

731 post *σωματικοῖς, οὐκ ἔστι?*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

σεων εὑρετήν, ὁ ἀμνημοσύνης, ἀχαριστίας, παραλογισμοῦ, ὕβρεως, λοιδο-
ρίας διώκων, οὐκ ἀνὴρ ἀγαθός· ἀγαθοῦ γὰρ καὶ τοὺς πάντη κακοὺς μὴ
μυσάττεσθαι, πονηροῦ δὲ καὶ τοὺς πάντη καλοὺς ἀποστρέφεσθαι· καὶ πῶς
ἂν ὁ δόξαν ἔχων τοῦ ἀγαθοῦ τὴν μετάπτωσιν ἔσχε τούτου ῥαδίαν, ὡς ἀπο-
f. 167v τραπῆναι πρὸς τὰ καὶ τῷ φύσει κακῷ παραφυλαττόμενα; ταῦτα φρονῶν | οὐ
περιειχόμην τέως ἐκείνοις· ὅτε δὲ συνιστᾶν τοὺς λόγους ἔγνων τὴν πεῖραν
καὶ κακώσεως ἐγκλήματι περιέπεσον καὶ στάσεως αἴτιος οὐκ εἰρήνης,
οὐδ' ἀγχόνης ἀποτρόπαιος ἀλλ' ὑπαίτιος, καὶ φονεὺς οὐ σῴζων ἤκουσα παρὰ
σοῦ τοῦ σωθέντος, τοῦ μὴ παρ' ἄλλου, παρὰ σαυτοῦ δὲ γνῶναι τὸ ἀληθὲς
ἔχοντος, καὶ τὴν ἀλήθειαν πεδηθεῖσαν εἶδον ὥσπερ ἀνδράποδον, εἰδότι λέγω
ἐπὶ τῆς διαλέξεως, τότε μου συνέχεε τὸν νοῦν καὶ ἠλλοίωσεν ἡ τῶν πραγμά-
των πρὸς τοὺς λόγους διαφορὰ καὶ λυπεῖσθαι μὲν κατέπεισεν ἐπὶ σοί, λόγους
δὲ παρέπεισεν οὐδαμῶς κατὰ σοῦ βάλλειν κακώσεως ἢ ὅσους προβάλλομεν
ἀχθόμενοι φανερῶς, κἂν πολλοὶ τὰς σὰς ἐπλήρωσαν ἀκοάς, οὐκ εἰκότα με
λέγειν ἀλλ' ἐπιλήψιμα. παρῆρε δ' ὅμως τὴν τότε λύπην ἡ ἔναγχος πρὸς ἐμέ
σου ἀπολογία ὡς ἀπὸ μελέτης δημιουργηθεῖσα τινὸς τὸ ἐπαινετὸν ἔχουσα·
θεὸν γὰρ εἰπὼν εἰδέναι πάντα, ἀνθρώπους δὲ μὴ κατὰ καιρὸν λέγειν
f. 168 πολλὰ | δέδωκας ἡμῖν ἀφορμὴν ἐννοεῖν τούτῳ σὲ μᾶλλον ἢ ἐκείνοις προσέ-
χοντα ὡς ἄγος τοὺς περὶ ἡμῶν ἀποστρέφεσθαι λόγους, ἔχοντας οὐδὲν ἀλη-
θές. εἰ μὲν οὖν ἀλλοῖος γέγονας, ὅτου χάριν εἰπέ· εἰ δι' οἷος ἦς μένεις καὶ
νῦν, πεῖσον ταῦτα καὶ τοὺς ἄλλους φρονεῖν καὶ μετὰ τῶν ἄλλων καὶ τὸν
σοὶ καὶ ἡμῖν δὲ ποθούμενον· φιλῶ γὰρ κἂν μισῶμαι τοῦτον, τὸν κύριον
κανστρίσιον· οὐκ εἰρωνευόμενος δὲ τὸ ποθεῖν προσέθηκα τοῦτον, ἀλλ' ἀλη-
θεύων. μηδ' εἰς τοῦτο περιγραψάτωσαν οἱ τὰ ἐμὰ περιγράφοντες τὴν ἐκεῖ-
θεν τοῖς τοιούτοις οὐ δεδοικότες ποινήν· ὅτι γὰρ ἀληθεύω τὸ κατ' ἀρχάς
μοι δηλοῖ προταχθέν, ὅτι ἔργῳ πέπεισμαι κυήματα πολλῶν εἶναι τὰ τὸ
τοιοῦτο μῖσος αὐτῷ προσενσπείραντα, τὰ ἐξ ἁμάξης κατ' αὐτοῦ, τὸ δὴ λεγό-
μενον, ἀλλ' οὐ τὰ λύπης ἡμᾶς ἐπιφημιζόντων λαλεῖν· φάντασμα γὰρ οἰκεῖον
οὐκ ἂν ἀπέτεκε χρόνιον καὶ δευσοποιὸν οὕτω νόσημα τὸ τῆς μνησικακίας
f. 168v φημί, εἰ μή τῳ | πιστεύηται τὸ περιφερόμενον γυναῖκα τεκεῖν Αἰθίοπα,
μίξιν οὐ γνοῦσαν Αἰθίοπος οὔτε εἶδος οὖσαν τοιούτου, μόνῃ δὲ κατὰ συνου-
σίαν ἀνατυπώσει Αἰθίοπος. ἡ πειθὼ δὲ σοὶ τίς; τοῦτο μὲν ἐπῳδῇ λογίων
ἱερῶν, κἂν ἐκεῖνος ἀετὸς ὢν οὐ δεῖται πρὸς τὸ ἵπτασθαι διδαχῆς, δεῖται
δ' ὅμως ὡς οἱ νοσοῦντες ἰατροὶ θεραπείας ἑτέρων, ὅλως τὰς ἀκοὰς ὑπο-
σχὼν τοῖς τὸ μῖσος ἡμῶν ἐπαυξήσασιν, τοῦτο δὲ ἱκετείᾳ καὶ γονάτων κλί-
σει· ἐπαγωγὰ γὰρ ταῦτα καὶ πρὸς σωτῆρα γινόμενα καὶ εὐεργέτην οὐκ
ἀπρεπῆ. εἰ δ' ἀποκέκλεισται ἡμῖν ἅπαξ ἡ τούτου θύρα, ἓν γοῦν τοῦτο τῷ
ποτε διδασκάλῳ πειθόμενος ποίησον· ἀπαλλάγηθι τῆς πρὸς ἡμᾶς ἔχθρας
αὐτὸς καὶ τοιούτους ὑπονόει περὶ σέ, οἵους ᾔδεις τὸ ἀπ' ἀρχῆς· ἀπαλλαγήσῃ
δὲ μήτε τοῖς ἔτι μέλλουσι πλάττεσθαι ὑπέχων τὸ οὖς. μέλλησις γὰρ τοῖς πρὸς

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*ταῦτα ῥαδίοις οὐδεμία, καὶ τὰ ἐν οἷς προελήφθης ἀποπεμπόμενος, ὃν εἶπες* f. 169 *θεὸν τὴν αὐτῶν ἀληθῆ μὴ οὖσαν πλάσιν εἰδότα πιστεύων· | καὶ ἡμῖν τοῦτο πάντως ἱκανὸν ἔσται κἂν ἑτέροις ...ις τιμᾶσθαι δίκαιον ἦν συνεισενεγκάντων τι πρὸς τὴν ὑμετέραν τιμήν· εἴπερ οὐ μεμφοίμεθα τοῦτο λέγοντες, ὡς ἡ τοῦ ἀρχιμαγείρου τοῦ Φαραὼ γυνή, ἣ περιβολῇ καὶ καθείρξει ποδοκάκκης χρονίᾳ πρόξενος εἶναι τῆς Ἰωσὴφ ἔλεγε βασιλείας.*

### *44(43). Τῷ καναστρισίῳ.*

*Πείθειν ὁ τῶν πολλῶν βιάζεται λόγος εἰσηγήσεσιν εἴξαντα πολλῶν οὐδαμῶς καὶ τὴν τῆς γραφῆς πρεσβείαν ἀπώσασθαι. ἐκείναις μὲν οὖν οὐκ εἶξαι, αὐτὴ ἡ πεῖρα διδάσκαλος· πλὴν οὐκ ἂν ἀνὴρ εὐσεβὴς καὶ τιμᾶν οἷς ποιεῖ θεὸν εἰδὼς ἀνεπίστροφον ἔσχεν οὕτω τὴν γνώμην, μεσιτείας κατακούσας πολυχρονίου καὶ εὐπειθοῦς· ἐξάπτει γὰρ αὕτη καὶ πρὸς ὀργὴν ἐρεθίζει πολλάκις οὐκ ἐπιτηδείως προσαγομένη, οὐδὲ κατὰ καιρόν· πρὸς δὲ τοὺς ἀτιμάσειν ὑπειληφότας καὶ τὴν γραφὴν συνιδεῖν οὐ δύνασθαι καὶ τὴν τῶν βαρβάρων ἔλεγον πρὸς τοῦτο ἀποτροπήν, οἳ τἄλλα βαρεῖς ἡμῖν ὄντες* f. 169v *καὶ | ἄσπονδοι, ἔνσπονδοι ταύτῃ καὶ ἥμεροι γίνονται, καὶ οὓς ὁρῶντες καὶ τὴν διὰ γλώττης οὐχ εἵλομεν προϊέντες φωνήν, ἕλξειν ὀλίγαις πρὸς ἑαυτοὺς ἠδυνήθημεν συλλαβαῖς· λόγῳ γοῦν τετιμημένος καὶ λόγου ὢν ὑπηρέτης καὶ τοὺς λόγους πρεσβεύων, ἴδε μὲν τὴν γραφήν, κατάθου δὲ τὴν ὀργήν, οὐ τὰς ψευδεῖς ἐκείνας λιτάς, ἃς ὁ ἔξω λόγος τοῦ Διὸς φησὶ θυγατέρας, ἀλλ' αὐτάς σοι τὰς τοῦ σωτηρίου πάθους ἡμέρας ἐπιφέρεται ἱκέτιδας ἡ γραφή, ἃς αἰδεσθείς, εἰδ' ὅτι ὧν εὔχῃ τὴν ἔφεσιν κομιῇ· ἐπεὶ καὶ τὰ πάντα χρηστὸς καὶ ὀρθῶς βιῶν κἂν τὸ πάχος ἔν τισιν ἐπιπροσθῇ τοῦ δεσμοῦ, μικρὸς χρόνος καὶ ἡ μήτηρ ἡμᾶς ὑποδέξεται γῆ, οὐκ οἶδα εἰ ὀψομένους ἀλλήλους ἐκεῖ, κἂν ὁ ὑπὸ σελήνην οὗτος κόσμος καὶ ἡ βραχεῖα τοῦ ἀέρος τούτου ὁλκὴ συνομιλοῦντας ἀλλήλους ἕξουσιν, εἰ καὶ ἡ κάτω τάξις ἡμᾶς ἐλαττοῖ· παρανάλωμα* f. 170 *τὸ τὴν διάστασιν ποιῆσαν γενέσθω πυρὸς τῇ μνήμῃ τοῦ ἐκεῖ|θεν πυρός· μέγας ὁ θεὸς καὶ πατήρ, μικρὰ καὶ οὐδὲν τῶν ἀνθρώπων ἡ φύσις· ὁ ταύτην καταλλάξας νῦν πρὸς ἐκεῖνον, πεισάτω μεγάλου καὶ μικροῦ μὴ ποιεῖσθαι παράθεσιν τῇ πρὸς ἐκεῖνον ἐνασχόλῳ φαντασίᾳ τοῦ νοῦ.*

### *45(44). Θεοδοσίῳ μοναχῷ.*

*Ἐλύπησεν ἡμᾶς ἀλλ' οὐκ εὔφρανε τὸ γράμμα τὸ σόν· εἶχε μὲν γάρ τι καὶ εὐφραῖνον, ὑγιείαν τὴν σὴν καὶ χρηστοῦ βίου διαγωγὴν ὡς δηλοῦν, πλέον δὲ τὸ λυποῦν ἐπεφέρετο καθ' ὃ ἀσθενεῖς ἀπήλεγχεν ὄντας ἡμᾶς πρὸς τὴν ἀποπεράτωσιν τούτου συμβαλεῖν οὐδὲν ἔχοντας. ἐδόθη μὲν οὖν, τιμιώτατε, τὰ*

---

793 ...*ις* verbum V vel VI litt.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*τῶν ἄλλων οἷς ἐπέσταλται γράμματα καὶ λόγοι προσετέθησαν αὐτοῖς πρὸς
ἡμῶν παρακλήσεως· οὐκ εἶχε δέ τι ἐναργὲς ἡ ἀπολογία δι' οὗ τὴν εἰς ἔργον
προαγωγὴν καταλαβεῖν ἐξισχύσαμεν· ἀγάπην μὲν οὖν αὐτῷ ζέουσαν πρὸς
τὴν ὑμετέραν ἁγιωσύνην καὶ πρὸς τὴν ἐκπλήρωσιν τοῦ ζητουμένου προθυ-
μίαν ἔγνων πολλὴν καὶ λύπην δι' ὃ ἡ τούτου ἔκβασις οὐκ ἦν εὐχερής· ἀλλ'
f. 170v ὅτι τῶν νῦν πραγμά|των ἡ δυσκολία ταῦτα ποιεῖ, τὸν νοῦν ἐπὶ τόδ' ἐπιστή-
σας ἱκανὸς εἶ κρίνων ὀρθῶς ἐκμαθεῖν· ὅτι δὲ προφάσεως εὑρισκομένης
τινὸς καὶ εἰς ἔργον ἐκβήσεται τὸ αἰτούμενον τῇ πρὸς σὲ στοργῇ καὶ τῇ νῦν
προθύμῳ γνώμῃ τούτων ἐξείκασα· ἡ παρ' ἡμῶν δὲ εὖ ἴσθι, γλυκύτατε, καθ'
ἑκάστην πρὸς αὐτοὺς ὑπόμνησις ἀπαράλειπτος ἔσται.*

**46(45). Δαμιανῷ σπαθαροκανδιδάτῳ.**

*Ἔκαμον, λογιώτατε, λόγους ὑπέχων πολλοῖς, ἀγνοοῦσιν ἐν κρίσει τοὺς
λόγους οἰκονομεῖν· βάλλεσθαι γοῦν τὰ πρῶτα δόξας καιρίως, τῇ ἀπειρίᾳ τὰς
βολὰς οὐκ ἀποκρουόμενος, τῇ συνεχεῖ μετὰ ταῦτα τῶν βελῶν ἀφέσει ὅτου
χάριν ἔγνων ῥαδίως τιτρώσκεσθαι. καὶ γνοὺς ἀντέχειν ἔπειθον ἐμαυτὸν
οἵτινες εἶεν οἱ βάλλοντες ἀναλογιζόμενος· καὶ ἐγένετό πως ἐμοὶ διδάσκαλος
ἡ συνήθεια· ὅτε δὲ ἡ πλείων πεῖρα καὶ τοὺς οὐχ οἵους ᾤμην τοιούτους
ἀπέδειξεν, ἐπὶ τὴν προτέραν ἀπορίαν μετῆλθον τῷ λογισμῷ καὶ πῶς τοὺς
f. 171 πάντας πέπεικε τὸ ἀνώμαλον τοῦ καιροῦ ἐξηκρίβουν ἓν ὥσπερ φρονεῖν | ὡς
διαφορὰν οὐδεμίαν ὁρᾶν σοφοῦ πρὸς ἄσοφον ἢ ἐνδόξου πρὸς ἄδοξον· μήποτε
γοῦν καλῶς ἐξειληφέναι σκοπῶ τινας τὸ τοῦ Μέλητος ἐν οἷς τοῖος γάρ τε νόος
ἐστὶν ἐπιχθονίων ἀνθρώπων, ἔλεξεν, οἷον ἐπ' ἦμαρ ἄγησιν ὁ κατ' ἐκεῖνον
πατὴρ ἀνδρῶν τε θεῶν τε, ὃ καταστρέφειν ἄλλης ὂν διανοίας εἰς τὸ τοιοῦτον
εἶναι τῶν ἀνθρώπων τὸν νοῦν, ὁποῖον ἂν ᾖ τὸ κατάστημα τοῦ ἀέρος, πολλοὺς
τῶν μεγάλων παρέπεισεν. ἡμεῖς μὲν οὖν μάρτυρα τὴν ἀλήθειαν προβαλλόμε-
νοι λέγομεν ὡς ὑστεροῦμεν οὐδὲν ὧν εἰς μαθητὰς δεῖ ποιεῖν, κἄν τε τῶν
εὐγνωμόνων, κἄν τε τῶν μὴ τοιούτων ὁ μαθητευόμενος ᾖ· ἀλλ' ἡμῖν τὸ ἀπα-
ράδεκτον τῶν μαθημάτων ἀναφερόμενον, παρὰ μὲν τῶν ἀπαιδεύτων συγγι-
γνώσκομεν, παρὰ τῶν πεπαιδευμένων δὲ καὶ λίαν ἀσχάλλομεν, δέον καὶ
φύσιν καὶ ἐπιμέλειαν καὶ χρόνον ὁρᾶν. οἱ δὲ τὸ δώροις ἀξίοις φιλοτιμεῖ-
σθαι τοὺς διδασκάλους ἀφέμενοι, ἢ παρακλήσεις προσάγειν ὅσοι πρὸς ἐκεῖνο
f. 171v ἐπαποροῦσιν, ἐπ' αἰτίας ἀκαίρους τρέπονται | καὶ οὐδὲ ὅτι ἐγκαλοῦσιν ἐπί-
στανται· κριτὴν οὖν οὐχ ἕτερον ἢ σὲ καθίστημι τῶν ἐμῶν, ἐπεὶ καὶ λόγῳ
καὶ βίον δόξῃ κοσμῇ· ἐλπίσι ποίαις τραφήσομαι, ἔτνους καὶ ταριχευτοῦ
Καλλισθένειον ἢ ἁλώνητον παρὰ τοιούτου δεξάμενος δωρεὰν εἰς τῶν ἐπὶ*

---

831 *ἐπὶ τόδ'* lectio incerta 832 *εἰ* cod. *εἶ* Tomadakis 843 *ἐπὶ* : *ἐπεὶ* cod. 859 *βίον* : *βίῳ* A²

29 - 10 - 1957

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

ῥιπὸς κειμένων, ἀλλ᾽ οὐχὶ διδάσκαλος νομισθείς; παρὰ προαίρεσιν ταῦτά μοι, ὁ τοὺς λογισμοὺς ἐξετάζων οἶδεν θεός, εἴρηται· πλὴν τὸ μικρὸν καὶ τὸ μέγα τῇ προθέσει τοῦ διδόντος σταθμίζεται· καὶ τὴν ἀναιδείας κριτοῦ τοιούτου τυχόντες γραφὴν φευξόμεθα. ἐπανόρθου τοιγαροῦν τὸ σκάζον ὧν ἐπίστασαι συνειδὸς καὶ εἴ τι χωλεῦον συνορᾷς ἡμῖν ὀρθωθήσεται.

## 47(46).

Μέχρι μὲν ἐλπὶς ὑπῆρχε προσλήψεως μείζονος ἢ καθ᾽ ἡμᾶς, φορητὸν ἡμῖν ἦν ταύτης ἀποτυγχάνουσιν, οὐδὲν ἔχουσι προορᾶν ἢ τὸ ἀνάξιον· οὐ πενίαν, αὕτη γὰρ ὕψουν ὤφειλε μᾶλλον, εἴπερ, εἰ καὶ κοινοί, τῶν χειμαζο- f. 172 μένων δὲ χάριν ἢ τῶν κατ᾽ οὖρον φερομένων | οἱ λιμένες καθίστανται· οὐ μεσιτείας ἐρημίαν, προεγνώσμεθα γὰρ εἰ καὶ μέσον λειμῶνος ἀτερπεῖς ἐφάνημεν μένοντες· μέχρι μὲν οὖν περὶ μεγάλων ἦν ἡ ἐλπίς, ἦν γὰρ τῷ τῶν ἐξώρων ἀπὸ γραμμῆς ὃ λέγεται γνῶναί σε πλέον ἔχειν ὅσῳ καὶ πλείων ἡ ἰσχὺς καὶ ἡ τῶν λόγων οἰκονομία κριτικωτέρα, φορητή πως ἦν ὡς ἔφημεν ἡ ἀποτυχία· καὶ νέφει γὰρ συγκαλυπτόμενος ἥλιος τὰς ἀκτῖνας οὐκ ἐξαπλοῖ· νέφος δὲ τῶν ἀκτίνων τῶν σῶν, τῶν κατ᾽ ἐμὲ δυστυχῶν τὸ ἀνάξιον· ὅτε δὲ τοῦτο γνόντες ᾐρήμεθα τοιαῦτα αἰτεῖν, ἃ μικραῖς ἀφορμαῖς καί τινες τῶν ἡμῖν μαθητευομένων αἰτήσαντες ἔτυχον καὶ τὴν κάτω χώραν τούτοις ἔχειν παρακαλέσαντες οἱ τὴν ἄνω τῷ διδάσκειν τέως ἐπέχοντες, ὑπερθέσεις ἑωρῶμεν καὶ ἀναβολάς, καὶ ἀνώμαλος ἡμῖν καὶ αὕτη δέδεικται ἡ ὁδὸς καί τι πρόσαντες ἔχουσα, αἵματι μέν, τὸ τοῦ λόγου, στένειν διέγνων, ἵν᾽ οὕτω τὸ πάθος γένηται δῆλον, κινεῖν δ᾽ αὐτὸν ἀφ᾽ ἱερᾶς, ὃ ἐσχάτης βοηθείας λέγε- f. 172v ται κίνησις, ἵν᾽ εἰς ἔλεον | ἐκκαλέσωμαι· μέγα κακὸν ἀνὴρ ἐπίφθονος, δέσποτα, ἐξ ἑτέρου γὰρ ποιήσομαι τὸ προοίμιον· εἰ δὲ καὶ τὸ γείτων εἶναι, φησὶν ὁ σοφὸς ἐκεῖνος, κεκλήρωται, ἀπαραίτητον τὸ δυστύχημα καὶ θανάτῳ μόλις παυσόμενον· δεινὸν δὲ καὶ βάσκανον τὸν τῶν γειτόνων ὀφθαλμόν, ἡ παροιμία φησί. τούτου περιπαρεὶς οὐκ οἶδ᾽ ὅπως ἐγὼ ταῖς ἀκάνθαις, παρὰ βραχὺ παρῴκησε τῷ Ἅδῃ ἡ ψυχή μου· τοὺς γάρ ποτε τὸν ἐμὸν ἐσθίοντας ἄρτον, φιλοτησίαις προπόσεσι μεγαλύνων οὐκ ὤκνησε διεγεῖραι πτερνισμὸν ἐπ᾽ ἐμέ· καὶ ἣν ἂν οἰστὸν εἰ πρὸς ἑαυτὸν αὐτοὺς ἐπεσπάσατο μόνον· νῦν δὲ καὶ τῆς οἰκείας χωρίσας διατριβῆς, πρὸς ἑτέραν χωρῆσαι κατέπεισε, φθονήσας καὶ διὰ τοῦτο ἐκκόψας τὴν ἐμοῦ καὶ τοῦ τῆς σχολῆς ἐκείνης κρατοῦντος ἀδελφικὴν στοργὴν καὶ ὁμόνοιαν. καὶ οὓς οὐ δίιστα μιᾶς ἡμέρας διάστημα, τριῶν ἐτῶν διέστησε φθόνος περίοδον καὶ οὐδὲ μέχρι τούτου τὸ κακὸν ἔστησεν, ἀλλὰ καὶ οἰκίαν ἐξ οἰκίας ἀμείβειν παρεγγυᾶν οὐκ αἰδεῖται τοὺς ἑαυ- f. 173 τοῦ, | καὶ ὡς εἴ τινας τοῦ Προμέρου κύνας ἐπαφεθέντας περιτρέχειν καὶ

---

863 τοιούτου κριτοῦ A² 882 ὁ ὃς cod. 889 μεγαλύνειν cod. 893 διάστημα in marg. τούτων : τούτοις ?



Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*καθυλακτεῖν ἡμῶν καὶ νῦν μὲν τοὺς ἐμοὺς ἀποσπᾶν φοιτητὰς ὅτε καιρὸν εὕροιεν καὶ προσοικειοῦν τῇ ἐκείνου σχολῇ, νῦν δὲ τοὺς ἐπαίρειν τὰ ἡμέτερα φιλίως ἐθέλοντας συνήθεις ἢ καὶ τοὺς ἀκοῇ προκατειλημμένους ἐπιστομίζειν καὶ πείθειν ἀμουσοτέρους εἶναι Λειβηθρίων ἡμᾶς. τί τοῦτο βουλόμενοι; πάντας ἔχειν ὑφ᾿ ἑαυτοὺς εἴ που τύχοι τις αὐτῶν ἐκπαιδεύειν θέλων τινά· ἀλλ᾿ οὐδὲ τοῦτο πράττειν δεδίασι τὸ τῆς ἡμέρας ἐκείνης ἀπαραλόγιστον, ἐχθροὺς τοὺς φίλους καταναγκάζειν ποιεῖν καὶ τῆς τοῦ χαίρειν αὐτῆς προσφωνήσεως τῇ λύμῃ τούτων νοσεῖν, ὥσπερ καὶ ἄλλους βουλόμενοι· καὶ δέδοικα μὴ καὶ τὰ σὰ χρηστὰ σπλάγχνα κατ᾿ ἐμοῦ λάθρα πως ὡς μὴ διαγνωσθῆναι οὗτοι συνέκλεισαν, ἐξ ὧν καὶ τέρψιν αὐτοῖς οὐ μικρὰν προσοῦσαν ὁρῶ, τῆς ἀποτυχίας ἡμῶν ἕνεκεν. καὶ διαβολῆς ἐγενόμην κατήκοος* f. 173v *χθὲς | πρὸς τὸν ἐμὸν διδάσκαλον καὶ πατέρα, καὶ φεῦ τοῦ ἀνημέρου τρόπου καὶ ἀπηνοῦς, ὃν καὶ τὰ τρία τῶν Στησιχόρου κατεπῇδον ἐφ᾿ ἅπαντας ἀγνοεῖν, ὃν καρκίνου δίκην εἰς τοὐπίσω βαδίζειν καὶ τῷ ᾀδομένῳ ἐπὶ τὰ Μανδροβούλου χωρεῖν ἔλεγον, ἐφ᾿ ἕτερον οὗτοι πανουργίας εἶδος μετῆλθον καὶ διαβολὴν ἐπλάσαντο κατ᾿ ἀνθρώπου, ὃς ἄγκυρα τῶν ἐμῶν ὀδυνῶν πατρικοῖς ἐγένετο σπλάγχνοις καὶ διδασκάλους αὐτοῦ κατετόλμησαν λέγειν ἡμᾶς, τοὺς τῆς αὐτοῦ διδασκαλίας καταπολαύσαντας· εἶτα καὶ σποράδην συλλέξαι λόγους κατεφληνάφουν πρὸς ἁρμογὴν κανόνος ἑνός, ὃν ἀπόδειξιν ᾤμην ἐγὼ διεστραμμένης γραφῆς ἀγνοῶν τὸ μελετηθέν, τῶν πολλῶν κανόνων καὶ ἐπιστολῶν ἠκριβωμένων καὶ λόγων ἐντέχνων γενόμενον τέκτονα καὶ πρὸ τοῦ ἡμᾶς καὶ τοὺς τοῦτο παλαμησαμένους εἰς φῶς προελθεῖν· πῶς δὲ τοῦτο ἐτύρευσαν, τοῦ ἤθους αὐτοῦ τὸ ἀποίκιλον βλέποντες καὶ ἀπόνηρον, ὃς τρόπῳ* f. 174 *χρηστῷ πάντων | ἡττᾶσθαι βούλεται, μόνον ἵνα τὸ παρ᾿ αὐτοῦ εἴτε λεγόμενον, εἴτε γραφόμενον μὴ τοῖς οἰκείοις λογισμοῖς, ἀλλὰ καὶ τοῖς ἑτέρων βέβαιον ᾖ καὶ πάγιον· καὶ οὗτος μὲν ὁ τρόπος, αἰτία δὲ ὅτι φέρειν οὐκ εἶχον τὴν αὐτοῦ πρὸς ἐμὲ στοργὴν καὶ κηδεμονίαν, ἵνα κἂν οὕτω καὶ τῆς αὐτοῦ με στερήσωσι συνδιάσεως. ἀλλ᾿ εἰς μάτην αὐτοῖς ἡ τοιαύτη κατεσκεύασται μηχανή· δὸς οὖν τὴν παρὰ σοῦ, δέσποτα, δικαίᾳ κρίσει ῥοπὴν καὶ τῶν ἀγελαίων καὶ πολλῶν τῷ πλήθει ἀπαλλάξας ἡμᾶς, κἂν τοῖς οἰκείοις ἔνταξαι μαθηταῖς· ἀνιαρὸν γὰρ εἰ προσοικειῶνται μὲν οὗτοι δι᾿ ἄλλων, ἐγὼ δὲ πάλαι προσῳκειωμένος ἀποπεμφθήσομαι.*

## 48(47). *Εὐσταθίῳ πρωτοσπαθαρίῳ.*

*Ὑπὲρ τὴν ἡμετέραν ἐστὶν τοῦτο ἀσθένειαν, ἄνδρα βασιλείοις αὐλαῖς ἀναστρεφόμενον καὶ ἀξιώμασιν ἀποσεμνύνοντα τὸ πολιτικόν, εὐγενῆ τε καὶ τὸν τρόπον μετὰ τοῦ γένους, εἰς τοσοῦτο ταπεινώσεως κατιέναι, ὡς σμικρύνειν,* f. 174v *εἰ τὰ κόσμου βλέποι τις ἑαυτὸν, | πρὸς τοὺς βραχεῖς ἡμᾶς φοιτῶντα καὶ ἀφανεῖς. πάντως δὲ τῶν θεῷ φιλουμένων εἷς ὢν καὶ αὐτὸς ὁ χρηστὸς ἡμῶν φίλος καὶ ἀδολώτατος, κατ᾿ ἐκείνους, οὐ κατὰ τοὺς ἀγοραίους συμβάλλειν*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*ἔγνως, ὡς οὐχ ἑαυτῷ προσεπιτρίψοιτο μῶμον ὁ εὐγενής, ἢ ὅθεν αἱ τῆς ψυχῆς ἐντίκτονται βλάβαι· οὐ γὰρ οὐχ οὕτω φρονῶν ἐπεδήμεις ἡμῖν, ἔθου δὲ μᾶλλον ἡμᾶς εἰς οὐδέν, παρατρέχων ὡς Σιφνίους ἢ Μαρωνίτας.*

## 49(48). Ἰωάννῃ.

*Ἕως μὲν ἡ τῶν Παφλαγόνων μέχρι λόγων ἐπιθυμία προσῆν, ψευδῆ
πως ᾤμην εἶναι τὴν περὶ ταύτης ὁμιλίαν, ὡς σοὶ συνήθη καὶ σύντροφον·
συνακμάσαν γὰρ ἑώρων ἐν σοὶ τὸ ψεῦδος πολλοῖς πρότερον παιδευθεὶς καὶ
οὐκ ἤλπιζον ἁπλῇ προσβολῇ ῥημάτων σε πρὸς τὸ ἀληθὲς ὁρᾶν, ὁπότε καὶ
σπουδάζοντι μόγις τοῦτο προσεξευρίσκετο· ψευδῆ δὲ ταύτην ὑπονοῶν καὶ
λόγων χαριέντων ἕνεκα καὶ ψυχαγωγίας προβαλλομένην σοι, ἀπαθῶς τὴν*
f. 175 *περὶ | ταύτης ὑπόμνησιν ἔφερον οὐ βασανίζων τὸ περισπούδαστον τοῦ σκο-
ποῦ· ἀέρος δὲ πάντως ὑπελάμβανον ἀπολαύσαντα καθαροῦ καὶ τέρψεων
ἠρινῶν ἐμφορηθέντα καὶ ναμάτων ἀθολώτων καὶ ἀπορρύτων ὑπερτρυφή-
σαντα καὶ χώροις κρυεροῖς καὶ ὑγιεινοῖς ἐπιδεδημηκότα καὶ τούτοις ἐνδια-
τρίψαντα, πάλιν πρὸς τοὺς συνήθεις χωρῆσαι τὴν ἀπ᾽ αὐτῶν ἀποδημίαν οὐ
πεποιηκότα μακράν· ἡνίκα δὲ τῶν τέως ὑπονοουμένων ψευδῶν ἀληθὴς ἡ
ἔκβασις ἀπηγγέλλετο καὶ ὅσα πρὸς τὴν ἔξοδον ἐγίνετο συντελῆ, προπεμπτη-
ρίων τε καὶ ἐξιτηρίων παρὰ τοῦ τὰ πατρὸς ἀποσώζοντος λόγων προσήγετο
δέησις, ὡς οὐκ αὖθις ἀποληψομένους, φησί, τὸν ὑμέτερον Ἰωάννην ἀδήλων
ὄντων τῶν ἐν ἡμῖν, πῶς διετέθημεν οἴει τῇ πικρᾷ τούτων ἀπαγγελίᾳ καὶ
λυπηρᾷ; ἵνα δέ τι καὶ τῶν ἐπισυμβάντων προσθῶ τῇ γραφῇ, ἀκαιρία σου*
f. 175v *πρῶτον | κατεγινώσκετο, μὴ καιρῷ τὸ δρώμενον ἐπιτρέψαντος· ποῖος γὰρ
καὶ εἴποις καιρός, ὅτε καὶ τοὺς σῶμα εὔρωστον καὶ οὐ κατεσκληκὸς ἔχοντας
κακῶς ἡ τῶν ἡλιακῶν ἀκτίνων διακαὴς ἐπιβολὴ διατίθησιν; εἶτα λογισμοῦ
δοκιμασία προσετίθετο ἄκριτος· πῶς γὰρ ἔχοις καὶ λέγειν κεκριμένῳ τοῦτο
ποιεῖν λογισμῷ, μήτε πατέρα βλέπειν μέλλων ἐκεῖ καὶ τὴν μητέρα μόνην
ἀφείς, ἣν ὁ σὸς κατέπεισε πόθος τὰ οἰκεῖα καταλιπεῖν, δι᾽ οὓς ἄν τις καὶ
πελάγους μακροῦ καὶ ἀποδημίας κατατολμήσειε χαλεπῆς; πρὸς δὲ καὶ τῶν
ἐκβησομένων τὸ ἀμελέτητον κατηγόρητο· ποίᾳ γὰρ φήσεις μελέτῃ τοῦτο
ποιεῖν; εἰ γὰρ τέρψις τοῖς οἰκείοις τοὺς ὁμογενεῖς ζῶντας βλέπειν καὶ
ὑγιεῖς, ἀηδία καὶ λύπη πολλὴ τὸ κλινήρεις καὶ πρὸς ὁσίαν ἑτοίμους ὁρᾶν·
εἰ οὖν αὐτὸς βίου λείψανον ὢν καὶ τῷ Ἅδῃ, ὅσον ἄνθρωποι κρίνουσι,*
f. 176 *κατηγγυημένος, πρὸς ἐκείνους πῶς ἀπάραι διενό|ησαι, λυπήσειν, οὐκ εὐφρα-
νεῖν τούτους εἰδώς; πρὸς οὖν τὸ ταῦτα σκοπεῖν τὸ τῆς μέμψεως ἐπίβλημά σοι
προστέθειται· ἀλλ᾽ ἐπεὶ παρὰ πολὺ τῶν ἡμετέρων ἐννοιῶν τὸ σὸν κατεκρά-
τησεν ἐπεννόημα καὶ ἀμείνω τὰ τῶν Παφλαγόνων ἐκρίθη σοι, πεῖραν ἔχον-*

---

936 ἢ del. A² 952 *συντελεῖ* cod. *συντελῆ* Tomadakis 953 *λόγον* cod. *λόγων* Tomadakis

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*τες τῆς σῆς ἀρετῆς οὐκ ἀθεεὶ τὸ τοιοῦτον ἐκρίναμέν πως ἐκνίκημα· οὐ γὰρ ἂν ὑπεκδραμὸν τοσούτων φραγμοὺς διαβάσεων, πρὸς οὐδεμίαν τούτων ἀλλὰ πρὸς ἣν ἔκρινας αὐτὸς πάντως ἐτράπετο, πρὸς εὐχὴν δὲ μᾶλλον πρὸς τὸ σοὶ κριθὲν τὰς μέμψεις ἀφέμενοι διανέστημεν· εἴη σοι, ὦ βέλτιστε, τῶν ἡμετέρων ὀδυνῶν εὐσθενὲς παρηγόρημα καὶ τὸ τῆς ὁδοῦ παραδραμεῖν ἀλύπως διάστημα καὶ τοὺς οἰκείους, οὓς ὁ θεὸς ἔτι τῷ βίῳ μένειν εὐδόκησε, χαίροντα βλέψαι καὶ σθένοντα, καὶ εἰ τῶν κατ' ἐμὲ ἁμαρτωλῶν εἰσακούοιτο δέησις, πάλιν ἀποδοθείης ἡμῖν· εἰ δ' ὃ πάντας ἀνάγκη παθεῖν συμβαίη,*
f. 176v *γένοιτο μετ' εὐδοξίας καὶ χρηστοῦ τοῦτο συμβῆναι | βίου· πρὸς τὸν οὕτω γὰρ κρίναντα ζυγομαχεῖν οὐδεὶς λογισμοῦ κύριος ὢν ἐθελήσειεν.*

### *50(49). Νικολάῳ κουβουκλεισίῳ καὶ σκευοφύλακι τῆς Νέας.*

*Δυσαπάλλακτος ἡ κακία καὶ ἡ ἐπὶ τὸ κρεῖττον βραδεῖά πως μεταβολή· εὐμετάβλητος καὶ οὐ μόνιμος ἡ ἐπ' ἀγαθῷ ῥοπή· ταχεῖα δέ πως ἡ ἐπὶ τὰ αἰσχίω ὁρμή· ἀλλ' οὔτε ταύτης οὔτε ἐκείνης ῥᾳδίαν τις τὴν μετάπτωσιν ἔχει, ἡνίκα μὴ διάκειται κατὰ ταύτας, ἀλλ' ἐν ἕξει τούτων γεγένηται, κἂν ὡς ἐπὶ πᾶν τὴν ἀπὸ τῶν καλῶν ἐπὶ τὰ οὕτως οὐκ ἔχοντα τὴν μετάβασιν βλέπωμεν. ἐπεὶ οὖν οὐ τῆς τῶν πολλῶν μοίρας αὐτὸς ἐφάνης τῆς τῶν ὀλίγων δέ, ἕνα βελτίω θέμενος τὸν τὸ θέλημα Κυρίου ποιεῖν ἑλόμενον ἢ μυρίους τὸ καλὸν ἀποτρεπομένους, ἀγάμενοι τῆς ἀρετῆς σου τὸ ὑψηλὸν ὡς ἡττηθέντες τὸ παραμεῖναν ἡμῖν τῆς ἀγάπης ἐμπύρευμα δείξομεν οἱ βραχεῖς ἡμεῖς καὶ ὀλίγωροι· οὐ γὰρ τὸ ταύτης ὅλον ἀποσῴζεσθαι πῦρ ἀσθενείᾳ νοὸς ἠλπίζομεν παρὰ σοί. |*

### f. 177 *51(50). Μιχαὴλ μαΐστορι.*

*Ὑπεστειλάμην ἂν τὴν γραφήν, εἰ φανερὰν ὁρᾶν καὶ διωμολογημένην εἶχον τὴν ἔχθραν, μᾶλλον δὲ εἰ καὶ λείψανον, ἀλλ' οὐκ αὐτὸ τῆς ἑταιρίας ἥτις ποτὲ ἦν ἐν ἡμῖν τὸ πλῆρες ὥσπερ ἀποσωζόμενον ἔβλεπον· τὸ γὰρ οὕτω κατακερματισθέν, ὡς τὸ λειπόμενον εἰς τοσοῦτο χωρῆσαι μικρὸν τῆς εἰς τὰ λεπτὰ κατατομῆς αἰτίαν οὐ φαινομένην ἐχούσης, ἀφορμὴν ἐδίδου τὸ ταυτηνὶ τὴν πρόθεσιν ἐπισχεῖν· ἐπεὶ δὲ καὶ στέργειν καὶ τῶν τῆς στοργῆς οὐκ ἀπολείπεσθαι καλῶν προσέτι διισχυρίζεσθαι, οὐ παραιτήσασθαι διέγνων ταύτην· δείξει γὰρ ἂν τὸ πέρας, εἴπερ ἐπὶ παντὸς τοῦτο βούλεται πράγματος, εἴτ' ἐλευθέρα, εἴτ' ἀνελεύθερος ὑμῶν ἡ φιλία· πρῶτον μὲν οὖν ἐρήσασθαι βούλομαι φιλικῶς, εἰ δ' οὖν, ἀλλὰ λογικῶς, ἐστί τις φίλων, τὰ φιλοῦντα δὲ μὴ δεικνύς, καὶ πόθεν ἂν γνωσθείη τῆς φιλίας τὸ καθαρόν· εἰ γὰρ τὸ κοινωνικὸν ἀρχὴ φιλίας, ἀλλ' οὐ τὸ ἄμικτον, σημεῖον δὲ ἡ διαμονὴ ἢ καὶ τὸ τὸ αὐτὸ τοὺς*
f. 177v *ἀγαπῶντας φρονεῖν, ἆρα καὶ διαστάσεως ἀρχὴ τὸ ἀμιγὲς | καὶ ἀσύμβατον,*

---

1001 *διισχυρίζεσθε... ἔγνω* cod. *διισχυρίζεσθαι... ἔγνων* Tomadakis

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*καὶ σημεῖον τὸ μὴ ταὐτὰ φρονεῖν καὶ τὸ τῆς ἀγάπης οὐκ ἔμμονον; οὗ γὰρ ἀπόστασις, ἐκεῖ καὶ διάλυσις· καὶ οὗ διάλυσις, ἐκεῖ καὶ στάσεως αἴτιον. οὗ δὲ στάσεως αἴτιον, ἐκεῖ τῆς ὁμονοίας οὐχ ὁρᾶται ἰσχύς. ὅπου δὲ τῆς ὁμονοίας ἀπερράγη τὸ ἰσχυρόν, πῶς οὐ διάστασις ἐκεῖ καὶ φιλίας διάζευξις καὶ μῖσος, ὥσπερ τι τειχίον τὸ ταύτης διεῖργον ἑνωτικόν, ὅπερ οἶμοι τειχίον τοῦ μεγάλου χάσματος ἐκείνου προσημαίνει τὸ φοβερόν, ὃ τοὺς ὧδε κατ' ἐμὲ παρεκκλίνοντας τῶν βαδίζειν ἐπ' εὐθείας ἑλομένων ἐξείργει· πολλὰ μὲν οὖν ἔστι τὰ τὴν ἀνθρωπίνην φύσιν οἰκειοῦσθαι χαρακτηρίζοντα τῷ θεῷ, ἡ δὲ πρὸς τοὺς πλησίον καὶ ἀλλήλους ἀγάπη τῶν ἄλλων ἀμέσως τούτῳ προσοικειοῖ, ὅτι καὶ τῶν ἄλλων αἰδημονεστέρα καὶ βασιλικωτέρα πλήρωμά τε οὖσα νόμου, καὶ ὅλον αὐτὸν καὶ προφήτας ἐκκρεμαννυμένους αὐτῆς ἔχουσα.* f. 178 *ὅπως δὲ στέργειν ἐχρῆν, αὐτὸς | δηλοῖ τῷ νομικῷ ἐρομένῳ εἰπὼν ὁ Χριστός, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν, ἄλλον ἑαυτὸν εἰσηγούμενος τοῦτον, ὃ καὶ τοῖς ἔξω διορισθὲν εὕρηται· ἔχεις οὖν δεῖξαι, καλὲ Μιχαήλ, ἑαυτὸν μισοῦντά τινα ἢ ἐπιβουλεύοντα ἢ κακοῦ τινὸς ὄντα παραίτιον; οὐ φαίνῃ μοι τοῦτο εἰπεῖν, εἰ μὴ τοὺς δαιμονῶντας λέγοις ἢ τοὺς ἐξεστηκότας οἳ καὶ κατὰ κρημνῶν ἑαυτοὺς ὠθοῦσι καὶ πρὸς πῦρ ἐπιρρίπτουσι καὶ τοῖς φίλοις κατεπεμβαίνουσιν, εἰ κηδομένους θεάσοιντο, καὶ τῶν ἰδίων πολλάκις ἀφειδοῦσι σαρκῶν· ὁ οὖν τοῦ πλησίον οὐ ποιούμενος λόγον καὶ τὰ εἰς τοῦτον σκώμματα καὶ εἴ τι πεπαρῴνηται μὴ σκοπῶν, εἰς ἑαυτὸν ταῦτα λεχθείη στρέφειν ὡς ὁ βάλλων ὑψοῦ τοὺς λίθους. πῶς γὰρ οὔ; εἴπερ ἄλλος οὗτος αὐτός, ἢ πῶς ἂν ἀληθὴς ὁ τοῦ Χριστοῦ φανήσεται λόγος; εἰ γὰρ ὁ τὸν πλησίον ὡς ἑαυτὸν ἀγαπῶν, ἑαυτοῦ δ' οὐκ ἄν τις τῶν παραιτίων βλάβης ὤφθη* f. 178v *ποτέ, ὁ γελώμενον τὸν πλησίον καὶ ἀδικούμενον συγχωρῶν, ἵνα μὴ | λέγω σκωμμάτων καὶ κακώσεως αὐτὸς ὑπόθεσις ὤν, ἑαυτὸν ἄρα κακοῖ, προσέτι δὲ καὶ ἀδικεῖ· καὶ εἰ τῇ διαστάσει καὶ ἀποστάσει, τῷ ἀμιγεῖ τε καὶ ἀσυμβάτῳ, καὶ τῇ κατακρότῳ τῶν διαβολῶν προσοχῇ, τῷ ὑποσυρμῷ τε τῶν μαθητιώντων ἡμῖν καὶ τῷ διασυρμῷ τῷ πρὸς τοὺς σούς, φημίζῃ κατακρατεῖσθαι, τὰ τοῦ νομοθέτου παρανοῶν λήσειν οἴει ὄντα ἀλάθητα, κἂν τὸ πάχος ταῦτα τοῦ ἡμετέρου διαφεύγῃ δεσμοῦ, ταῦτα πείσεσθαι προβαλῇ καὶ αὐτός; καὶ πῶς οὐ φύσεως ἄλλης συνεισάγειν δόξεις μεταβολήν, παιομένους οὐ διδοὺς ἐν τῷ μέρει καὶ ἀντιπαίειν, κἂν εὐείκτους οὐδ' εἰς τοῦτο ῥᾷον ἔχοις προσεξευρίσκειν, ἀλλὰ πρὸ παθῶν πάθους αἴτιος γέγονας; συγγνωστός· ἄνθρωπος γάρ· καὶ τίς, οὐκ ἔχω συμβάλλειν, ὁ πρόξενος τοῦ κακοῦ; διανοίας ἀνατυπώματα φήσεις καὶ ἀναπλάσματα, ἱππαλεκτρυόνων ἴσα καὶ τραγελά-* f. 179 *φων καὶ οὕτως ὑπηγάγετό σε εἰς τὸ ὂν τὸ μὴ ὄν· καὶ φιλοσόφου τίς | εἴποι τοῦτο ψυχῆς, ἢ καὶ τὴν πῆσιν ὡς ἀπαθὴς τῷ δεσμοῦντι προσάπτουσα, δράσειν τι τῶν ἀνοικείων οὐ συνορᾷ; ἄλλου τὸ δρᾶμα σκήψῃ καὶ οὐχὶ σὸν καὶ τούτου φίλου μὴ δυσμενοῦς καὶ τῶν μεγάλων οὐ τῶν ἀσήμων· ἐκλαμβάνῃ πῶς δὲ τὸ ἄλλος; φίλον ἐπειπὼν καὶ οὐ δυσμενῆ δηλοῦν ἔχεις τὸ ὁμοού-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*σιον καὶ σὸν εἶναι τοῦτο τὸ δρᾶμα λοιπόν· καὶ εἰ χειρὸς ἀποβολῇ καὶ ποδὸς καὶ ὀφθαλμοῦ δεξιοῦ εἰ σκάνδαλόν τι παρεισάγοιεν ἐκκοπῆναι νενομοθέτηται, πῶς οὐ τὸ σόν, ἀλλὰ σὲ λυμαινόμενον μέλος πόρρω βαλεῖν ἢ μᾶλλον οἰκειῶσαι οὐκ ἔγνως πρὸς ἑαυτόν, καθυπακοῦον εἰ εἶχες, οὐκ ἀπειθοῦν; κόνις δὲ καὶ αὐτὸς ὢν τέφρα τε καὶ σποδός, πῶς τὴν μεγάλην κλῆσιν ἀποκεκλήρωται; τάξεως οὐ τῆς κάτω, τῆς ἄνω δὲ τοῦτον ὑπέλαβες, καὶ τοῦτό σε τὸ ὑποκύψαν καὶ ὅλον ἑαυτοῦ ποιῆσαν; ἡμεῖς δὲ ποῦ σοι ταττόμεθα; κάτω καὶ περὶ γῆν καὶ πολὺ τούτῳ ἔχειν τὸ ἄνισον. πάντες, χρηστὲ Μιχαήλ, ἐν* f. 179v *ἐπιτιμίοις ὅτι καὶ | πάντες ὑφ' ἁμαρτίαν, κἂν τὴν ἄνω καὶ κάτω χώραν περὶ τοῦτο διέστησας· εἰ δὲ περὶ τῶν ἐκτός σοι γέγονεν ἡ διάκρισις, οὐ τὸν αὐτὸν πλάστην ἐπιγράφῃ τούτου τε καὶ ἡμῶν; οὐχὶ θεὸς εἷς ἔκτισεν ἡμᾶς, φησὶ Μαλαχίας; οὐχὶ πατὴρ εἷς πάντων ἡμῶν; καὶ εἰ πάντων πατὴρ ὁ θεός, ἀδελφοὶ πάντες ἄρα; ἀλλ' ἀδελφοί· καὶ τίς ὁ τὸ ἧττον καὶ τὸ μᾶλλον ἐπενεγκών; πλεονεξία· ἐκείνην δὲ τίς; ἁμαρτία· αὕτη δὲ πόθεν; ἀπροσεξίᾳ νοός· ἐκ τούτου δὲ προβάλλεσθαί τις ἔχοι τὸ τῆς φύσεως ἀσθενὲς ὡς ἀντέχειν οὐκ ἐξαρκοῦν, κατακρατεῖται θᾶττον αὐτὸ κἀκεῖθεν ὀργὴ καὶ μῆνις καὶ πᾶν ἄλλο κακὸν ἐπεισέρχεται· ἀλλ' οὐ κατακρατεῖν ἡμῶν πάντῃ δέδοται ταῦτα, τῆς προαιρετικῆς γὰρ τοῦτο ζωῆς ᾗ πάντως ὁ προαιρετικὸς ἀντίκειται θάνατος. ἐπεὶ οὖν ταύτῃ μὲν οἱ βιοῦν ἐθέλοντες οὐ καλῶς ἕπονται, τούτῳ δὲ κατακολουθοῦσιν οἱ μὴ τοιοῦτοι, διατί τὸ φρενὸς παρεισπεσὸν κουφότητι* f. 180 *δίκην ἧλου προσπερονηθέν, ὅ φησὶ Πλάτων ἡμῖν | χεῖρον ὂν ἐπικρατὲς τοῦ κρείττονος γέγονεν; χρεὼν ὑποπεσεῖν εἴποις ὡς ἀσθενεῖς καὶ τοῦ ἀνδρὸς αἰδεσθῆναι τὸ ὑψηλόν; καὶ τί τῶν συντεινόντων εἰς σύμβασιν παρελείψαμεν; τί δαὶ γέγονεν, οὐκ ἀγνοῶν ἐρωτᾷς· πλέον τὸ Δωδώνης χαλκεῖον καθ' αὑτῶν ἐκινήσαμεν, χιτῶνας μόνον οὐ διερρήξαμεν, ὃ περὶ τὴν Φρύνην Ὑπερίδης πεποίηκεν, ὅτι μήδ' ἀντωπῆσαι τούτῳ ἡμῖν ἐξεγένετο κἄν· ἐπεσπασάμεθα γὰρ τοῦτον εἰς ἔλεον, ἀλλ' ὃ τοῖς ἀσθενῶς διακειμένοις τὰς ὄψεις ὁ ἥλιος, τοῦτο ἡμῖν αὐτός· καὶ ἵνα τι προσείπω καὶ θαυμαστὸν καὶ τὸ ἄλλοθεν αὐγάζον ἐπισκοτεῖν οὐκ ὤκνησε φῶς, ἀπροφασίστους αἰτίας δημιουργῶν, ταῦθ' ὁ τῷ θυσιαστηρίῳ παρεστηκώς, ταῦθ' ὁ μνησικάκων ὁδοὺς ὑπαναγινώσκων εἰς θάνατον, ταῦθ' ὁ τοῖς ὀφειλέταις ἀφιέναι νομοθετῶν, ταῦθ' ὁ πρὶν δύναι τὸν ἥλιον καταλύειν τὴν ἔχθραν ἐγκελευόμενος,* f. 180v *ταῦθ' ὁ τὸν οὐράνιον πατέρα ταλαντεύειν ἐπίσης τὸν τῆς δικαιοσύνης | ἐμβοῶν ὁσημέραι ζυγόν, οὐ τὸν θυμὸν εἰ παύσειν ἰσχύσειας, ἔργον ἔσῃ μέγα πεποιηκὼς καὶ οἷον εἰς ὕστερον νῦν αὐτὸς μισῶν ὅλος τοῦ θυμοῦ γεγονὼς ἐπαινέσεται. παύσεις δὲ πῶς; Τιμοθέου ἴσον δυνάμενος ἐπαυλεῖν· ὁποῖα δὲ καὶ τὰ ἐπαυλήματα; μὴ τὸν θυμὸν ἄρχειν τοῦ λόγου, δέον ἄρχεσθαι μᾶλλον, ἄρχειν δὲ τῆς ἐπιθυμίας αὐτόν. ἀρχομένου γὰρ τοῦ ἄρχειν ὀφείλοντος, τὸ*

---

1049 *ἐκκοπῆσαι* cod. *ἐκκοπῆναι* Tomadakis

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*εὐάρμοστον οὐ σῴζεται τῆς ψυχῆς· ἀλλὰ καὶ αὐτὸς ἐπαυλεῖν ἴσως οἰήσεται οὐκ ἀπόμουσα. πᾶς γάρ τις ὁ παροιμιαστὴς ἑαυτῷ φησὶν φαίνεται δίκαιος· στρέψον τῶν αὐλῶν τὸ ἄρρυθμον εἰς τὸ εὔρυθμον καὶ ὃ περὶ τοῦ Πυθαγόρου λέγεται, τὸν ἔρωτα κατασβέσαι τοῦ κατακολουθοῦντος τῇ αὐλούσῃ νεανίσκου, τοὺς αὐλοὺς ἐκείνης εἰς τὸ ἔμπαλιν στρέψαντος, τοῦτο ποίησον αὐτὸς εἰ δεξιῶς ἔχοις πρὸς τὴν ἐπαύλησιν μεταβάλλων τὸ ἥμερον πρὸς τὸ ἄγριον. εἰ ταῦτ᾽ ἐπάδων ἑνῶσαι γένηταί σοι τὸ διαστᾶν, ἕξεις τὸν τῶν ἀμφοτέρων* f. 181 *ἑνοποιὸν εὐμενῆ καὶ ἡμῖν εὐκταία ἡ φιλία φανεῖται μᾶλλον ἢ | βατράχῳ τὸ ὕδωρ καὶ τὸ στέαρ γαλῇ· εἰ δὲ τὸ ἀπευκτὸν αὖθις ἐπισυμβῇ, θανάτῳ τὸ ἑκάστου ἔργον διαλυθὲν ταῖς ἐκεῖθεν ἐξετασθησόμενον εὐθύναις, κατακαυθήσεται μὲν αὐτὸ ζημιούμενον, περίσωσιν δέ, εἰ χρὴ περίσωσιν τὴν διὰ πυρὸς καλεῖν ἐπιμονὴν τοῦ δεδρακότος, ἐργάσεται.*

## ***52(51). Ἰωάννῃ σπαθαροκανδιδάτῳ.***

*Πρὶν ἢ σοῦ γνῶναι τὴν ἄφιξιν ἔφθασας ἀναχωρήσας αὐτός. ὅθεν οὐκ ἐγενόμεθα τῆς σῆς ὁμιληταὶ ἀδελφότητος· εἰ δὲ δεῖ τι περιεργότερον εἰπεῖν, ἔγκλημά σοι γέγονε τοῦτο ὡς ἰδεῖν ἡμᾶς, εἰ καὶ μὴ διὰ τὸ τῆς ἀγάπης θερμόν, διά γε τοὺς ἀδελφοὺς ποιῆσαι τοῦτο ὀφείλων οὐ διεσκέψω. ἀλλ᾽ οὖν εἴτε δι᾽ ὑπεροψίαν, εἴτε δι᾽ ἄγνοιαν, ἐπεὶ γέγονε συγγνωστὸν ἀνθρώπῳ ὄντι καὶ βιοτικαῖς κατακρατουμένῳ φροντίσιν· δι᾽ ὃ δὲ τῇ ἀδελφότητί σου γράψαι προήχθην, ἴσθι οὕτως ἔχον· ὁ τουτὶ τὸ γραμματεῖον ἐπιφερόμενος, παρρησίαν πρὸς τοὺς μαθητὰς τοὺς διδασκάλους ἔχειν οἰόμενος, λαβεῖν ἡμᾶς* f. 181v *ἐξῃτήσατο γράμμα πρὸς τὸν σὸν ἀδελφὸν ὡς ὠφελῆσαι | τοῦτον δυνάμενον· πρὸς μὲν οὖν τοῦτον γράψαι ἀποσῳζομένην οὐκ ἔχων τὴν παρρησίαν ἀνεβαλόμην, πρὸς σὲ δὲ καὶ χρηστότερον ἦθος ἔχοντα, εἰ φθόνος πρὸς τοὺς ὁμαίμονας οὐδὲ εἷς, καὶ φιλίαν ἀπαρασάλευτον καὶ τῷ χρόνῳ τὴν φρόνησιν ἐντελῆ καὶ τοῦ δικαίου τὴν ἀκρίβειαν παραφυλαττόμενον τοῦτο ποιῆσαι βεβούλευμαι· γράμμα πατριαρχικὸν ἐπιφέρεται, τηρηθῆναι τοῦτον παρὰ τοῦ πατρὸς ἐντελλόμενον, καὶ εἰ μὲν ὁσίως εὕροι βιώσαντα, ἀλλ᾽ οὐ καθὼς οἱ κατήγοροι λέγουσιν, ἀποκαταστῆσαι τοῦτον ἐν τῇ οἰκείᾳ μονῇ· εἰ δέ τι τῶν καλῶν παρεκτραπέντα καὶ κατὰ λόγον ταύτης ἐστερημένον, ὡς ἔχει τοῦτον ἐᾶσαι, φειδοῦς ἀξιοῦντα οὐδεμιᾶς· τούτου τοῦ γράμματος εἰ ἐναντία γράφειν σοι θέλομεν, οὐκ ἔμφρονες κριθησόμεθα· ἐπεὶ δὲ καὶ φῆμαι ψευδεῖς διαγγέλλονται καὶ κατηγορίαι κινοῦνται ἀπίθανοι καὶ ἀναίτιοι αἰτιῶνται πολλάκις, παρακαλοῦμεν ἐπιστῆσαι τὸν νοῦν τοῖς ἐρευνωμένοις καλῶς καὶ ἀπροσπαθῶς* f. 182 *τοῖς ἐξεταζομένοις, εἴ τι | συνορᾷς τὸν ἄνθρωπον ἔχειν δίκαιον, ἐπιβλέπειν καὶ τὸν πατέρα πρὸς τοῦτο παρακαλεῖν· καὶ εἰ μηδὲν ἐν οἷς ὑπέχει τὴν δίκην ἐνέχηται, ἢ μικραὶ αἱ εὐθύναι καὶ οὐκ ἐκβολῆς εἰσὶν ἄξιαι, ἀνθρώ-*

---

1087 *τις* add. A².

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

πους γὰρ ὄντας ἀδύνατον καθαροὺς εὑρεθῆναι μώμου, ἄλυπον τηρηθῆναι τοῦτον ἐξαιτοῦμεν καὶ ἀβλαβῆ.

**53(52). Τῷ πατριάρχῃ[1].**

**54(53). Τῷ αὐτῷ[2].**

f. 183 **55(54). Τῷ κανστρισίῳ.**

Ἴσως οὐκ εὔλογα δόξω λέγειν οὐδὲ δίκαια, περὶ τῶν ἤδη τῇ δοκήσει
f. 183v μόνῃ διαλυθέντων μαχόμενος, καὶ ὅτι φύσει | μεμψίμοιροι καὶ τὰ τῶν ἄλλων μὴ ῥᾶον διαγινώσκειν οὐκ οἶδ᾽ ὅπως εἰπεῖν ἑκόντες ὑποκρινόμενοι, καὶ ὅτι μικρὸν ὑμῖν ἢ οὐδὲν ἐξ ἀσυλλογίστου διανοίας τὸ πραχθὲν καταφαίνεται. ἀλλ᾽ εἰ μὲν ἄλλου τὸ ἐγκαλούμενον τανῦν ἐστι δράματος, ἄλλο δὲ τό ποτε πραχθὲν ἦν, εὔλογος ὑμῶν ἡ νέμεσις καὶ οὐκ ἄλογος· εἰ δὲ περὶ τοῦ αὐτοῦ καὶ τότε καὶ νῦν ἐστιν ἡ διαφορά, παρὰ τῶν εἰδότων κρίνειν ὀρθῶς οὐκ ἀλόγως, ἀλλ᾽ εὐλόγως λέγειν κριθήσομαι. φωτὸς παραγενομένου πάντως ἐρεῖς τὸ σκότος ὑποχωρεῖν καὶ τῆς ἐπικειμένης τῇ φλογὶ ὕλης ἀφανισθείσης τὴν ἀνημμένην φλόγα μαραίνεσθαι· πόρρω τῆς ἀγάπης οὔσης τὴν ἔχθραν ἐλαύνεσθαι ; φημὶ κἀγώ. εἰ οὖν τῷ φωτὶ τὸ σκοτίζον αὐτὸ νέφος ἐπιτιθέναι πειρᾷ, καὶ τῇ μόλις μικρὸν γοῦν καταπαυθείσῃ φλογὶ τὴν ὑπεκ-
f. 184 καίουσαν καὶ πλέον αὐτὴν ἐπεγείρουσαν ὕλην ἐμβάλ|λειν, καὶ τὰ τὴν τῆς φιλίας ἀποσβεννύειν θρυαλλίδα φανερῶς καὶ ἀπροκαλύπτως ἀποσῴζειν δυνάμενα, τίς ἡμῖν ἐπιτριβήσεται μῶμος ; οὐδὲν ἕτερον ἢ μόνον ἐπὶ τοῖς δρωμένοις ἀχθομένοις ὅσαι ἡμέραι, εἰ μὴ καὶ τὸν παιόμενον αἰτιῷτό τις ὅτι μὴ ἀναισθήτως ἔχει, καὶ τὸν ὠθούμενον ὅτι μὴ στήλης δίκην ἀκίνητος ἵσταται ; ὅτι μὲν οὖν τὸ γενόμενον οὐκ ἔξω πολλῆς ἐστι θλίψεως, τοῦτο [δὲ] παρ᾽ ὑμῶν πολλάκις ἀνωμολόγηται καὶ παρὰ τῶν ὅπως ἐπισταμένων γέγονε κέκριται· ποῦ γάρ ἐστιν δίκαιον τὰ τοῦ πλησίον ἀφαιρεῖσθαι βιαίως τινὰ καὶ τῆς ἐκείνου γνώμης χωρὶς τῶν ἐκείνῳ συλλεγέντων πολλῷ πόνῳ καρπῶν ἐπεντρυφᾶν, καὶ ταῦτα ζῶντος ἐκείνου καὶ βλέποντος ; ἆρ᾽ οἰστὸν τοῦτο ἢ φορητόν ; ὅτι δὲ μετὰ τὴν δόξασαν ἀγάπην ἐκείνην, ὡς οὐκ αὐτάρ-
f. 184v κης ὑμῖν οὖσα | ἡ πρώην καθ᾽ ἡμῶν ἐπαγωγὴ τῶν ὀδυνῶν ἐπὶ μᾶλλον προστέθειται, δέον ἀφαιρεθῆναι, κῆπον Ἀδώνιδος ἢ πυραύστου μόρον τὴν ὑμετέραν ἅπαξ χαρακτηρισάντων διάθεσιν, ἴσως οὐδ᾽ ὑμεῖς ἀγνοεῖν ἔχετε. ἐγὼ μέντοι τὸ πλέον ἐπίσταμαι, ὅσῳ καὶ ὁ τιτρωσκόμενος τοῦ βάλλοντος αἰσθητικώτερος, μάλισθ᾽ ὅρκοις ἀπομνυμένων φρικτοῖς, μηδεμιᾶς

---

1146 δὲ erasum 1152 μῶρον A. ω in ο A²

---

[1] « Ἀθηνᾶ », ἔνθ᾽ ἀν. 193 καὶ « Byzantion », ἔνθ᾽ ἀν. 443.
[2] « Ἀθηνᾶ », ἔνθ᾽ ἀν. 194 καὶ « Byzantion », ἔνθ᾽ ἀν. 444.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*κακώσεως αἰτίους ἀποφανθῆναι ὑμᾶς. ἐπεὶ δὲ τοὔνθ' οὕτως ὑμῖν ἔχειν δοκεῖ, καὶ οὔτε ἡ πάλαι τυρευθεῖσα τῶν φοιτητῶν, τοῦ μὲν γνησίου διάζευξις, τοῦ δὲ νόθου μὴ ὄντος οἰκείᾳ δὲ προαιρέσει γενομένου ἀφηνίασις, οὔτε ἡ τῶν νῦν πραττομένων ἐπιχείρησις, οὔτε, ἵνα τὸ βαρύτερον εἴπω καὶ πολλῶν δακρύων ἄξιον, ἡ τῶν διαφερόντων τούτοις ἀγχιστέων, ὅσον τὸ καθ' ὑμᾶς, στάσις φιλόνεικος, οὐ πρὸς ἡμᾶς ἐχόντων πάλαι ὡς ἔχουσιν. f. 185 ἄξιαι λύπης κρίνονται παρὰ σοί, τὸ σοὶ διαπρα|ξάμενος ἐφετὸν μένε ταῦτα δρῶν καὶ νῦν καὶ ἀεί, ἔφορον ὧν ποεῖς τὸν ἐτάζοντα νεφροὺς καὶ καρδίας ἔχων θεόν. ἐγὼ δὲ σποδὸς ὢν καὶ γῆ, ὅσον οὔπω τῆς ψυχῆς τοῦ δεσμοῦ χωριζομένης, τῇ μητρὶ γῇ μέλλων παραδοθήσεσθαι καὶ εἰς κόνιν διαλυθήσεσθαι, καὶ ἐσίγησα, καὶ τὰ ἐμαυτοῦ μόνα σκοπῶν σιγήσομαι, ὡς μὲν ἀνθρωπίνην ἀσθένειαν περικείμενος, τοῖς ἐπισυμβαίνουσι πειρατηρίοις ἀχθόμενος, ὡς δὲ λόγῳ τιμηθεὶς καὶ ὑπὸ τῶν μεγάλων τῆς ἐκκλησίας νομοθετούμενος διδασκάλων, τὸ δόξα τῷ θεῷ πάντων ἕνεκεν καθ' ἑκάστην ἐπιφθεγγόμενος.*

**56(55). *Γρηγορίῳ μαθητῇ ἀποστατήσαντι.***

*Εἰ σαυτῷ μηδὲν σύνοιδας πρὸς ἡμᾶς ἐσφάλθαι, ἔασον ἡμᾶς, ἀδελφὲ Γρηγόριε, δίκην κυνὸς ὑλακτεῖν, σκώπτων καὶ καταγελῶν καὶ ταῖς ὕβρεσι f. 185v πλύνων τοὺς κολοιώδεις καὶ λάλους ἡμᾶς. Εἰ δὲ μὴ ἀθῷόν σε | τῶν τοιούτων τὸ οἰκεῖον ἐξεπίσταται συνειδός, τίς εἰμι ἐγὼ θεοῦ μεταβαλεῖν ἄμυναν, ὁπότε καὶ οἵοις κρίμασιν οἶδεν ἐπάγειν τῶν δρωμένων τὴν ἀμοιβήν. βάλλε οὖν ἡμᾶς πικροῖς τοῖς ὀνείδεσιν ὁπόσον καὶ θέλεις, καὶ ψάλλε γεγωνότερον εἰς ἡμᾶς, τὸν οἶνον καὶ προπίνων καὶ πίνων· καὶ γὰρ εἰ καὶ χεῖρας ἡμῖν ἐπενεγκεῖν καταθρασυνθῇς, ἀδυνάτους εὕροις εἰς ἄμυναν.*

**57(56). *Ἐπισκόπῳ.***

*Ἀπέχω πρὸ καιροῦ τοὺς ὀφειλομένους μισθούς. οὕτω με τὸ εὔγνωμον πείθει λέγειν τὸ σόν· οὐ γὰρ ἀμφιβόλους ἡμᾶς εἶναι ἐδοκίμασας, οὐδὲν ἢ τῶν ἐφιεμένων ἀποτυχίαν τὰς ὑπερθέσεις εἰδώς, ἀλλὰ τῇ προλήψει ὑπὸ σαυτὸν ἐποιήσω, κρατεῖν οὐ κρατεῖσθαι διεγνωκώς. ἐπεὶ οὖν οὐκ ἄχαρις ἡ προαίρεσις, οὐκ εἰς ἀχαριστοῦντας γνώσῃ ταύτην ἐπιδεικνύς. εὐγνώμονες γὰρ ἡμεῖς, καὶ τὸ μικρὸν ἡγούμενοι μέγα, τὴν τοῦ διδόντος σταθμίζοντες πρόθεσιν.*

**58(57). *Κωνσταντίνῳ βεστήτορι.***

f. 186 *| Ἔδει, καλὲ Κωνσταντῖνε, τὴν ἡμετέραν αἰδεσθέντα σε σιωπήν, μὴ οὕτω φανῆναι περὶ ἡμᾶς ἀγνώμονα, καὶ λήθης παραδοῦναι βυθῷ τὰ ἡμέτερα, εἴ γε καὶ ἐν εὐεργεσίας μέρει ταῦτα κέκριται παρὰ σοί· παρὰ τοῖς ἐχέφροσι γὰρ καὶ κέκριται καὶ κριθήσεται, εἰ μὴ ἄρα τῶν πολλῶν ἐκστῆναί σε τοῦ οἰκείου συνειδότος πέπεικε τὸ ἀχάριστον. ζηλωταὶ γάρ πως πεφύ-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*καμεν ἅπαντες τοῦ κακοῦ, καὶ θᾶττον ἔστι τινὰ ἀλλοίωσιν τοῦ προσόντος λαβεῖν ἀγαθοῦ πρὸς κακοὺς ἀποβλέποντα ἢ πρὸς τοὺς ἀγαθοὺς σκοποῦντα ζηλοῦν τὸ προσὸν ἑκάστῳ καλόν. οὐκ ᾐδέσθης τοῦ τοσούτου χρόνου τὴν σιωπήν, τὴν αἰδοῖ γινομένην τῆς σῆς κοσμιότητος; ἢ φόβον, οὐκ αἰδῶ, ταύτην ἥγησαι; τί δαὶ καὶ τὸ παραναγκάσαν ἀπεῖρξαι ἡμῶν ὡς μήτε ὀφθαλμοῖς ἰδεῖν ὑμᾶς ἀξιοῦν, ἀλλὰ θύραζε μὲν παραγίνεσθαι, ἄκροις δὲ καὶ ἀψόφοις ποσὶ τοῦτο ποιεῖν; μὴ γὰρ εἰς δικαστήριον εἵλξαμεν; μὴ τὴν ἔκτισιν* f. 186v *ἐπεβαρήσαμεν | τοῦ μισθοῦ; οὐχὶ τὸ πᾶν τῇ σῇ προαιρέσει ἀνατεθείκαμεν; οὐχὶ τὸ δοῦναι καὶ τὸ μὴ δοῦναι σὸν ἦν; οὐχὶ πᾶς εὖ φρονῶν οὐ τῇ τῶν δώρων δαψιλεῖ δόσει, τῇ τοῦ τρόπου δὲ προσέχει ὀρθότητι; ἡμεῖς, ἀδελφέ, οὐ σὲ μόνον, ἀλλὰ σχεδὸν τοὺς ὑφ' ἡμῶν μαθητευομένους ἅπαντας τῷ οἰκείῳ συνειδότι ἐάσαμεν, ἵν' ἕκαστος πρὸς ὃ δυνάμεως ἔχοι τὴν προσήκουσαν ποιῆται φιλοφροσύνην, οὐδένα δὲ ἠναγκάσαμεν, μήτε δοίη θεὸς ἀναγκάσαι τινά. εἰ δ' οὕτω διακειμένων ἡμῶν οἱ πολλοὶ μὴ κατὰ ἀπορίαν ἀλλὰ δι' οἰκείαν φαυλότητα πρὸς ἡμᾶς ἀχάριστοι διαμένουσιν, ἔνδικον ἰδίῳ καιρῷ λήψονται τὸν μισθόν. αὐτὸς δὲ τοιαῦτα καὶ λέγειν καὶ γράφειν εἰς τοσοῦτον ἐλάσας ἡμᾶς, ἴσθι τὸ πᾶν ἀποδεδωκὼς τοῦ μισθοῦ.*

### 59(58). *Ἀρχιεπισκόπῳ Σέλγης.*

f. 187 *Ἔφθασεν ἡμῶν τὴν ὀλιγωρίαν ἐπιδιορθοῦ|μενον τῆς ὑμετέρας ἁγιωσύνης τὸ προαιρετικόν. ὀλιγωρεῖν δὲ πῶς οὐκ εἰκὸς ἦν ἀνθρωπίνῳ πάθει κατεσχημένους; ἔπειθε γὰρ ἡ καὶ παρὰ τὸ εἰκὸς βραδύτης μὴ δυσχερείας ἐπικράτειαν, μικρολογίας μὲν οὖν κατακράτησιν ἐννοεῖν. ἀλλὰ τοῦ νοῦ τοῦτο μελέτημα μόνον ἦν, ὃς ἐπειδάν τινος τῶν ἀληθῶν διασκέψεως ἁμάρτῃ, περί τινα τῶν ἀβεβαίων ἀπασχολεῖται, διισταμένης ἀπὸ τούτου τῆς διαγνώσεως πρὸς ἐκεῖνο. ὅτι γὰρ διενοούμεθα μάταια, ἡ μετὰ ταῦτα ὑμῶν ἔδειξε σπουδή. διὸ τότε μὲν μελέτῃ τὴν κατάγνωσιν ἐποιοῦμεν, μῆκος ὁδοῦ καὶ βιοτικῶν φροντίδων περίστασιν προβαλλόμενοι, νῦν δὲ ἀμελετήτως ἔχοντες ἀπαριθμεῖν κἂν τούτῳ πολλὰ πρὸς εὐχαριστίαν ἐτράπημεν, ὧδε μὲν ταχεῖς, ἐκεῖ δὲ φανέντες βραδεῖς. μέρος γὰρ ἡμῖν ἀεὶ τοῦτο λογίζεται δωρεᾶς, τὸ πραγμάτων ἐκτὸς καὶ γνώμῃ προθύμῳ τὸ ἡμῖν ἀπολαμβάνειν ἐποφειλόμενον. |*

### f. 187v 60(59). *Ἡγουμένῳ τῶν Μονοβατῶν.*

*Ἐκείνους αἰτιᾶσθαί τις ἐθέλει, τοὺς φρόνημα γήϊνον ἔχοντας καὶ διὰ τοῦτο καὶ ὑπ' αἰτίαν ὄντας· οὐδὲ γὰρ ἂν οἷοί τε διαδρᾶναι τὴν ἐκ τῶν λόγων οὗτοι μομφήν, ὅτι μηδ' ὅσα ποιεῖν αἱροῦνται ἔξω αἰτίας εἰσίν. ὧν δὲ τὸ φρόνημα οὐ ταπεινὸν οὐδὲ γήϊνον, τούτους πῶς ἄν τις καὶ αἰτιάσαιτο μὴ ἐξεστηκώς, κύριος δὲ τοῦ οἰκείου λογισμοῦ ὤν; ἵνα δὲ μὴ οὕτω λέγοντες ἔξω τούτους εἶναι δῶμεν σαρκὸς ὡς οὐχ ὑπὸ τὸ πταιστὸν ὄντας, οὗτοι*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*τούτους καταιτιάσονται, οἳ προέχειν ἢ κατὰ χρόνον ἢ κατὰ βίον δόξουσιν· ἐπεὶ καὶ χρυσὸς χρυσοῦ καὶ ἄργυρος ἀργύρου δοκιμώτερος ἢ καθαρώτερος. οὐχ ἱκανοὶ γ' οὖν ὄντες ἡμεῖς κατὰ τῆς ὑμῶν ἁγιωσύνης αἰτίας κινεῖν, ὅσον ἐπὶ τῷ ὑμετέρῳ σκοπῷ — θεῖος γὰρ οὗτος καὶ πρὸς θείαν ῥέπων ὁρμὴν — ἐπεὶ κατά γε τὸν ἡμέτερον οὐκ ὀλίγα τὰ αἰτιάματα, παράκλησιν γράψαι* f. 188 *μᾶλλον, οὐκ αἰτίαν, συνείδομεν. ἰδοὺ | τὸ πατρικόν σου τέκνον, ὁ τῶν σῶν πόνων καρπός, ὁ τοὺς χαρακτῆρας ἀποσώζων τοὺς πατρικούς, ὁ χρηστὸς Ἀρσένιος, οὗ καὶ μνήμη μετὰ τῆς κλήσεως δακρύων μοι πολλῶν ὑπόθεσις γίνεται, ὃν ἀντὶ τοῦ ἀδελφοῦ βλέπων μὲν ἁπλοῦν τὸ τῆς λύπης ἔφερον πάθος, μὴ βλέπων δὲ διπλοῦν τοῦτο προσεκτησάμην, ταῖς πατρικαῖς ἀγκάλαις ἐναπεδόθη, οὐχ ὅσων μὲν ἐξῆν, ὅσων δὲ ὁ χρόνος ἀπῄτει μαθημάτων ἐπαπολαύσας· μᾶλλον δὲ οὐκ ἀπολαύσας, ἄκροις δὲ χείλεσι τῆς τούτων γεγευμένος γλυκύτητος· ὃ καὶ τοῦτον ὠδύνησεν, ὥσπερ τοὺς χρυσῖτιν ὀρύττοντας γῆν ἡ ἀποτυχία τοῦ θησαυροῦ, καὶ ἡμᾶς ὀδυνᾷ πλέον, ὅτι, μὴ ἐπὶ ψαμμώδους καταβαλοῦσι γῆς τὸν θεμέλιον, οὐκ ἐξεγένετο τῇ ἐπιρροίᾳ τῶν ἡμετέρων ἁμαρτιῶν ἐπιθεῖναι τὴν ὀροφήν, παντοίοις ἀνέμοις ἄσειστον μέλλουσαν τὴν οἰκίαν γενήσεσθαι. τοῦτον δεξάμενος μὴ χρόνῳ κατασχών, ὃν* f. 188v *καλῶς ἐνήρξω καταβάλλειν θεμέλιον | ἐρείπιον ἐάσῃς κεῖσθαι καὶ ἀνώροφον, ἀλλ' ὡς ἄν τις εἴποι τῶν κατὰ σὲ θείων ἀνδρῶν — οὐ γὰρ ἐννοίας ἐμῆς λέγω σοι ῥήματα — κανόσι τοῦτον κανονίσας πνευματικοῖς, καὶ τὰ κατὰ θεὸν αὐτοῦ ταῖς πρὸς σωτηρίαν ἀγούσαις ὁδοῖς διαβήματα καταρτίσας, ἀπερίτρεπτον αὐτὸν εἶναι ταῖς περιτρεπούσαις θαρρήσας ἐπιβουλαῖς, ὡπλισμένον δηλονότι ταῖς τιμίαις ὑμῶν καὶ θεῷ ἐγγιζούσαις εὐχαῖς, καὶ ἰλύος ἀνεπίδεκτον πάσης — οὐδὲ γὰρ ἂν κιβδηλωθείη χρυσὸς μέσον τέλματος ὢν — πρὸς ἡμᾶς ὅτε καιρὸς ἐπιτρέπει σοι ἐξαπόστειλον, τῆς φίλης καὶ θεῷ καὶ ἀνθρώποις σοφίας μεθέξοντα. καὶ γὰρ καὶ αὐτοὶ ἐπαλείφειν οὐ κατοκνήσαντες, καὶ ἀνδράσιν ἐγκατοικίζειν τοῖς ἤδη τὰ πρεσβεῖα τῆς μαθήσεως ἔχουσι σπουδάσαντες, θᾶττον τοῦτον πρὸς τὸν τὴν κατὰ θεὸν ἐκπαιδεύοντα σοφίαν αὖθις ἐξαποστελοῦμεν.*

### 61(60). Ἰωάννῃ πιγκέρνῃ τοῦ πατριάρχου.

f. 189 *Ἐμπορικὴν καὶ οὐ σοφιστικὴν μετιέναι τέχνην | ὑμᾶς φωραθείημεν, εἰ πλέον τοῦ δοθέντος λαβόντας ἕξειν καταναγκάσομεν τὸ ζητούμενον· πάλιν εἰ τὸ ἴσον λαβεῖν ἐπισπεύσομεν, μικρολογίας ὑποπέσομεν ἢ καὶ ἀνοίας γραφῇ. οὔτε οὖν τιμιουλκεῖν διὰ τὸ ἀνύποπτον, οὔθ' ὑποτέμνειν συνιδόντες διὰ τὸ ἕτερον, ἐκεῖνο παρακαλεῖν ἔγνωμεν, ἵν', εἰ μή τις κατεπείγοι τὴν ἀπόκτησιν ἀποτρέπουσα πρόφασις, ὃ βούλει προθεὶς τίμημα — βουλήσῃ δ' οἶδα τὸ βαρῦνον οὐδ' ὅλως, ἄλλως τε καὶ δι' ἀγάπην, οὐ κατά τινα*

---

1247 *οἰκίαν* $A^2$ *οἰκείαν* A

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*τοῦτο ποιῶν ἔπειξιν — δοίης ἡμῖν τὸ ληφθὲν ἐν χρήσει βιβλίον. εἰ δ' ἔτι τὸ ἐξεῖργόν ἐστιν, ἑκούσιον εἶναι θέλοντες οὐκ ἀκούσιον τὴν κατάνευσιν — ὃ γὰρ αὐθαίρετον, τοῦτο καὶ ἄλυπον — παρακαλοῦμεν μὴ σκανδάλου τι παραίτιον τὴν πρὸς τοῦτο γενέσθαι ὑπόμνησιν. τὸ χρησθὲν γὰρ ὡς ἐξουσιασθὲν ἀδελφικῷ κατασχόντες τρόπῳ, τοῖς ἡμῖν ἐπικτηθεῖσι καὶ τὰ τούτου ἐπισυνάψομεν. μένει δὲ παρ' ἡμῖν ἡ ἀγάπη, συγχεομένη κατὰ τοῦτο μηδέν.*

**62(61). Ἐφραὶμ μοναχῷ.**

f. 189v *Ἓν ἀντὶ πάντων τοῦτο γράψαι συνεῖδον, μεμνῆσθαί σε | τῆς ἡμῶν μετριότητος παρακαλῶν διὰ τῆς γραφῆς, καὶ προτρέπων τὴν ἐπιδημίαν μὴ τῇ ἀποδημίᾳ συναπελθεῖν. ἀλλ' εἰ καὶ τοιοῦτό τι προσενεσπάρη τῷ λογισμῷ, ἀποκρούσασθαι θᾶττον αὐτό· στρεπτὰς γὰρ ἐμαθητεύθης εἶναι φρένας ἐσθλῶν. τὰ δ' ἄλλα καὶ μὴ θέλων σιγῶ· τοιοῦτος γάρ μου τῇ σαρκὶ σκόλοψ ἐδόθη, τανῦν πλείω λέγειν οὐκ ἐφιείς.*

**63(62). Νικηφόρῳ μητροπολίτῃ Φιλιππουπόλεως[1].**

f. 190 **64(63). Ἐφραὶμ μοναχῷ.**

*Τοῖς χρυσοῖς σου γράμμασιν ἐντυχόντες, καὶ δι' αὐτῶν τό τε τοῦ ἤθους σεμνόν, καὶ τὸ τῆς φύσεως δεξιόν, καὶ τοῦ περὶ ἡμᾶς σου πόθου μαθόντες τὸ ἀκραιφνές, ὅσην ἐδεξάμεθα τὴν χαρὰν οὐχ ἱκανοί ἐσμεν τῇ τῆς ἐπιστολῆς δηλῶσαι γραφῇ. τῇ χαρᾷ δέ πως καὶ λύπη συνείπετο, διὰ τὸ μὴ τοιούτους ἡμᾶς οἴεσθαί σε, οἵους ἐδήλους εἶναι διὰ τοῦ γράμματος, εἰ καὶ μὴ τῷ νῷ, ἀλλά γε δι' ὧν ἐφάνης ποιῶν. εἰ γὰρ ἠπίστασο φιλίᾳ μόνῃ πνευματικῇ καὶ οὐ δόσεσιν ἡμᾶς ἥδεσθαι, οὐ τοῖς γράμμασι προσθεῖναι προῄρησαι καὶ τὸ σταλὲν περιβόλαιον, τὴν πλεονεξίαν οὐκ οἶδ' ὅπως εἰπεῖν τὴν ἡμετέραν ἐλέγχων, εἰ καὶ μὴ φανερῶς ἀρκεσθεὶς ταῖς πάλαι φιλοτίμοις καὶ δαψιλέσι σου δωρεαῖς. ὅμως χρηστῆς οὔσης σου τῆς προθέσεως, χρηστὸν ἡμῖν ἐφάνη καὶ τοῦτο μετὰ τῶν ἄλλων· καὶ οὕτως αὐτὸ προθύμως, οὐκ ἀπληστίαν νοσοῦντες, ἐδεξάμεθα, ἀλλὰ τῷ πρὸς σὲ πόθῳ νυττόμενοι,* f. 190v *ὡς ἐξ ἐκείνου καὶ νῦν καθ' ἑκάστην | τούτῳ σκέπεσθαι νύκτα, καὶ μνημεῖον αὐτὸ τῆς σῆς ἀγάπης σώζειν διηνεκές. ἀλλ' οὕτω μὲν ὧδέ πως ἐχέτω· τὸ δὲ μετὰ τοῦτο κατοκνεῖ μὲν τοῦ γράφειν ἡ χείρ, ἀτονεῖ δὲ καὶ τοῦ λέγειν ὁ νοῦς· ἀδοκήτοις γάρ τισι θλίψεσι κυρήσας, οὐκ ἔχει τοῖς οἰκείοις παρομαρτοῦντα τὸν νοῦν λογισμοῖς, τοῦ τῆς ἀθυμίας ἐπιπροσθοῦντος αὐτῷ νέφους, καὶ μὴ ἐῶντος ἐξάγειν εἰς φῶς τὸ τῆς καρδίας ἐνθύμιον. ἐπεὶ οὖν καὶ ἡμεῖς ἀθυμίας ἐνσχεθέντες, ἀχλύϊ παρὰ πονηρῶν καὶ τὴν γνώμην*

---

[1] Ἐδημοσιεύθη εἰς « Byzantion », 24, 1954, 445 καὶ « Ἀθηνᾶ », ΝΗ', 1954, 194.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*καὶ τὴν προαίρεσιν ἀνθρώπων ἐπενεχθείσης ἡμῖν, οὐχ οἷοί τε γεγόναμεν διὰ μακρᾶς γραφῆς τὸν ἡμέτερον πρὸς σὲ πόθον ἀφοσιώσασθαι, τοῦ νοῦ μὴ ἐξαρκοῦντος τῷ σκότῳ τοῦ περικειμένου νέφους αὐτῷ καθυπουργεῖν τῇ διὰ μέλανος γραφῇ, μικρὰ ἄττα προσεπειπόντες ἀρκεσθησόμεθα. οἶδα γὰρ ὅτι καὶ τῷ βραχεῖ τῆς γραφῆς ἱκανὸς αὐτὸς εἶ τὸ πολὺ τοῦ πόθου διατεκμή-* f. 191 *ρασθαι. σπεῦσον ἐλθεῖν πρὸς ἡμᾶς τοὺς | ἀδόλῳ φιλίᾳ φιλοῦντάς σε· ἐλθὲ πάλιν πρὸς τὴν τῶν λόγων διατριβήν, ἀπολαύσων τῆς τότε σοι ποθουμένης διδασκαλίας, μὴ τὸν τοσοῦτον πόθον ἢ τοῦ τόπου καὶ τοῦ χρόνου κατασβέσῃ διάστασις. οὐ πολλοῦ δεήσει, σαφῶς ἐπίσταμαι, χρόνου τῇ ἀρδείᾳ τῶν ἡμετέρων λόγων τὴν ψυγεῖσαν ἐκείνην τῶν μαθημάτων αὖθις ἀποπλῦναι πηγήν, καὶ θᾶττον ποιῆσαι πότιμον ἀναδοῦναι νᾶμα καὶ διειδές. τῷ μεγαλοφυεῖ γάρ σου καὶ σπουδαίῳ πεποιθώς εἰμι σφόδρα, καὶ θαρρῶ τὴν μνήμην αὐτῶν ἄληστον ἔτι καὶ νῦν σώζειν σε, καὶ μὴ μικρὰν παραμένειν ἐν σοὶ θρυαλλίδα τοῦ τούτων λύχνου, τῷ ἐλαίῳ τῆς σῆς πιαινομένην σπουδῆς. δὶς μὲν οὖν ἀναβιῶναι τῶν Ἑλλήνων οἱ μῦθοι τὸν Ἰάσονα λέγουσι· καὶ ψευδὲς τοῦτο τοῖς ὀρθὰ φρονοῦσι καταφαίνεται εἶναι. ἐφ' ἡμῖν δὲ* f. 191v *τοῦτο μετὰ τῆς ἀληθοῦς καὶ οὐ τερατώδους γενήσεται πίστεως, | εἴ σου τὴν πεποθημένην ὄψιν κατιδεῖν, καὶ τῆς γλυκείας ἀπολαῦσαί σοι τῶν λόγων ὁμιλίας ἀξιωθείημεν. μὴ ἐπὶ πολὺ τῷ δίψει τήκεσθαι τῆς σῆς ἐάσῃς ἀγάπης ἡμᾶς. ἀπόδος ἡμῖν σαυτὸν τοῖς ποθοῦσί σε. ἀπολαύσαιμέν σου τῶν πνευματικῶν ἐκείνων, πολυέραστε, λόγων, οἱ ψυχικῶς ζῶντες καὶ τὰ τοῦ πνεύματος κρίνειν, ὥς ὁ ἀπόστολος εἴρηκεν, οὐ δυνάμενοι, μωρίαν ἀλόγως τοῦτο οἰόμενοι, ἀποδῶμεν καὶ ἡμεῖς σὺν τόκῳ τὸ ὄφλημα. χρεῶσται γάρ σου εἰς πολλὰ κατεφάνημεν, πέρα τοῦ δέοντος τὰ τῆς προαιρέσεως ἐξ ἀγαθῆς προθέσεως ἐπιδειξαμένου σου. ἐπίσταμαι δὲ φιλοδιδάσκαλον, μᾶλλον δὲ φιλομαθῆ καὶ τῆς παιδείας ἐραστὴν ὄντα σε, ταῖς ἡμετέραις εἴξαντα παρακλήσεσι τὸ ζητούμενον παρασχεῖν. τὴν ἐκ βάθους οὖν ἡμῶν οὐκ ἐπιπόλαιον γνοὺς ἀγάπην, δίδου τὸ αἰτηθέν.*

### 65(64). *Θεοδώρῳ πρωτονοταρίῳ.*

f. 192 *Συνήθεις ἡμεῖς· ὅτι δὲ οὐ τῶν ἐπιφανῶν, | οὐ ποθούμεθα ποθοῦντες ἀλλ' ἐλεούμεθα. εἴτε δὲ ἐλεεῖς εἴτε ποθοῦντας ἀντιποθεῖς, σπούδασον, κύριέ μου, πρὸς τὴν ὑπόμνησιν, μὴ τῷ προσενεγκεῖν ἅπαξ ταύτην ἀρκούμενος, τῷ συνεχεῖ δὲ τὴν ἀποπεράτωσιν ἐξευρίσκων. τοῦτο μὲν γὰρ τῶν λίαν πρὸς τοὺς ἐλεουμένους ἢ φιλουμένους θερμῶν, ἐκεῖνο δὲ τῶν καὶ πάνυ ψυχρῶν. οἶδα δέ, εἰ μὴ φαῦλος ἐγὼ εἰκαστής, ὡς ἀντιπρᾶττον μὲν οὐδέν, συμπράττοντα δὲ μᾶλλον ἕξεις πρὸς τοῦτο πολλά· τὸ μὴ δωροληψίας ἕνεκεν λέγειν, τὸ ὑπὲρ ἀγαθοῦ τὴν σπουδὴν εἶναι, τὸ μὴ κατὰ πολὺ τῆς ἀρχῆς*

---

1315 *πιανόμενον* cod.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*ἐλαττοῦσθαι τὸ πρόσωπον, καὶ τὸ τοῖς λόγοις ἐπακολουθοῦν δυνατόν. ἔκφορα γ' οὖν τὰ παρ' ἡμῶν πολλοῖς μὴ ποιῶν — τοῦτο γὰρ πρὸ τῶν ἄλλων αἰτούμεθα — πᾶσι φανερὰ ποιῆσαι τῇ ἐκβάσει μὴ ὀκνήσῃς τὰ σά.*

**66(65). *Ἰωάννῃ πρωτοβεστιαρίῳ τοῦ πατριάρχου.***

*Τὸ θαρρεῖν, μήτε συνήθης ὤν, μήτε φίλιον διαπραξάμενος, οἷς ἐπα-* f. 192v *κολουθεῖ τοῦτο πάντως, | οὐκ ἔχω· θαρρῶ δ' ὅμως ἦθος βλέπων χρηστὸν καὶ φίλον ἀγαθὸν εἰς τοῦτο κινήσας, καὶ ὅτι παιδείας γεγευμένος μικρᾶς πρὸς τὸν ὄντα ταύτης οὐκ ἄμοιρον ἐκφαίνω τὸ βούλευμα. ἐκ τούτων μοι τὸ θαρρεῖν οὐκ ὂν ἐπεισενεχθέν, ῥαγέντων ὥσπερ τῶν τῆς αἰσχύνης δεσμῶν, οὐχ οἷα λέγειν ἰδιώτας ἔθος, ἀλλ' οἷα δέον πεπαιδευμένους ἀκούειν γράψαι συνεῖδον. ταύτῃ γὰρ αὐτῶν διαφέρομεν μόνον· τοῖς μὲν γὰρ αἱ παρὰ συνήθειαν καὶ παρὰ τὸ εἰκὸς φωναὶ καὶ τὰ τῆς ἐλεεινολογίας ἐξευρίσκονται ῥήματα, ἡμῖν δὲ μόνη τοῦ δικαίου ἡ προβολὴ καὶ ὁ τῆς ἀγάπης θεσμὸς ἐξαρκεῖ, ἐκείνης μὲν ὑμῶν δεικνυούσης τὸ εὐσεβές, τούτου δὲ τὴν φυλακὴν τῆς ἀνωτάτω προφαίνοντος ἐντολῆς. εἰ οὖν τῆς ὑπομνήσεως τοῦ καλοῦ φίλου τὴν εἰς ἔργον προαγωγὴν οὔτε βαρύνουσαν οἶδας, οὔτε τοσοῦτον ἐνδεῶς ἡμᾶς πρὸς ταύτην ἔχειν ὑπονοεῖς, ὡς σὸν τὸ τῆς ὑποθέσεως λογι-* f. 193 *σάμενος — τοῦτο γὰρ ὁ τῆς μεσιτείας καὶ ὁ τῆς ὀρθῆς ἀγάπης | ἀπαιτεῖ τρόπος — ἐπείχθητι πρὸς τὴν ἔκβασιν.*

**67(66). *Πέτρῳ ἀσηκρῆτις καὶ μαΐστορι.***

*Συμβάλλειν οὐκ εἶχον τὸν γέλωτα ὃν κατέχεας ἡμῶν χθές. αὐτὸς μὲν γὰρ ἰδίᾳ σκοπούμενος ὁ γέλως τῆς διὸ καὶ ἐγένετο ἀπολογίας χωρίς, σαρδάνιός μοι μᾶλλον ἢ ἀληθὴς κατεφαίνετο, ὃν προβάλλειν τοῖς ἐν πικρίᾳ ψυχῆς οὖσιν εἰκός, ὅτ' ἂν τινος ἀποτύχωσι τῶν σπουδαζομένων· μετὰ δὲ τῆς ἀπολογίας διερευνώμενος, πεπλανημένην ἐποίει καὶ ἀσυλλόγιστον τὴν διάγνωσιν. εἰ γὰρ ἡ προβολὴ τοῦ ἐφιεμένου ἀναξία σοι νομισθεῖσα γέλωτος ὑπόθεσις γέγονεν, πολλῷ μᾶλλον γελάσῃ καὶ τῶν κάτω κατωτέρους θεώμενος. εἰ δὲ τὸ πρᾶγμα μὲν οὐ μικρόν, τὸ τοῦτο δὲ μεταχειριζόμενον πρόσωπον ἀνεπιτήδειόν σοι κριθὲν γελᾶν, οὐ παρηγορεῖν, παρεσκεύασεν, ἐμοὶ μὲν ἀνεκτόν, τὰ κατ' ἐμαυτὸν εἰδότι καλῶς καὶ συνειπεῖν ἔχοντί σοι μὴ διαψεύσασθαι, σοὶ δ' οὐ πάντως καλόν, συγκατιέναι γινωσκομένῳ τοῖς* f. 193v *ταπεινοῖς. πῶς δαὶ | καὶ τοῦ ζητηθέντος ἀνώτερον ἐμαυτὸν κρίναιμι, ὃν ὁ παρεληλυθὼς χρόνος οὐ βραχὺς ὢν καθάπαξ ἀπώσατο, παρεισρυέντων ἄλλων ποθεν οὐ τῶν ἀξίων, ἀλλ' ἤδη καὶ τῶν ὑποβεβηκότων τινῶν καὶ παραγκωνισαμένων ἡμᾶς; ἀλλ' εἰ μὲν οἷός τε ἦν συνεισφέρειν τι τῶν κινούντων εἰς ταῦτα, ἢ τὸ πρόσωπον οὐ ξένων λημμάτων εἰδὼς προτεθεραπευκέναι συνῄδειν, εἶχον ἂν μετὰ τοῦ λέγειν καὶ προφέρειν ἑτέρους, οἳ ταχεῖς τοὺς προστατοῦντας ἐφεῦρον, καὶ βραδυτῆτος κατηγόρουν ὑμῶν. ἐπεὶ δὲ*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*ἡμεῖς πρὸς τὰς συνεισφορὰς ἀσθενεῖς, καὶ αὐτὸς τούτων ἀλλότριος, διὰ θεὸν ὃ δέον πράττειν ποιεῖν ἀγαπῶν, ἐῶντες λέγειν ὅτι τὰ τοῦ θεοῦ θερμότερά πως τοῖς τοῦ θεοῦ, σιωπήσομεν, καὶ οἷς παρ᾽ ὑμῶν τετυχήκαμεν ἀρκεσθέντες, οὐκέτι περὶ ἄλλων διενοχλήσομεν. ἀλλ᾽ οὐδὲ παρηνωχλήσαμεν πώποτε, τὴν ῥοπὴν τὴν σὴν ὀχλήσεως καταμαθόντες ἀπροσδεᾶ. καὶ τοῦτο δ᾽ ἡμῖν συνέβη* f. 194 *δυσπειθέσιν οὖσι πρὸς ταῦτα, διὰ τὸν τῶν ἐχθραινόντων μὲν | παροξυσμόν, τῶν δὲ φιλούντων ἀδημονίαν, τῶν μὲν ἀσθένειαν, τῶν δὲ ὀλιγωρίαν ὑμετέραν προβαλλομένων.*

**68(67). *Φιλαρέτῳ μαΐστορι.***

*Τί μὴ παρά τινος διωκόμενος φεύγειν αὐτὸς κατεπείγῃ; τί μὴ τιθασσευόμενος ἀκκίζεσθαι προσποιῇ; τί δαὶ μορμολύττειν καὶ δεδίττεσθαι ἡγούμενος ἡμᾶς ἀγεννεῖς καὶ οὐκ ἐχέφρονας εἶναι ἐπιχειρεῖς; ἐγὼ μὲν οὖν πρὸς τὰ δηλωθέντα, οὐδὲν μετὰ σοῦ κοινὸν ἔχων, ἢ μόνον τὸν τῆς ἀγάπης φυλάττων θεσμόν, ἀντιδηλῶσαι προῄρημαι· σὺ δὲ μήτε τοῖς δηλωθεῖσι προσσχών, μήτε τὰ μέλλοντα συμβήσεσθαι σκοπῶν, κότον ἐγκείμενον παλαιὸν τῇ σῇ καρδίᾳ φυλάττων, καὶ μηδὲν ὑγιὲς ἐννοῶν, ὑπάρχοις καὶ βασιλεῦσι, ναὶ μὴν καὶ τοῖς τὸν ἐκκλησιαστικὸν διιθύνουσι θρόνον προσελθεῖν ἐπηπείλησας, μηδὲν ἐγκαλεῖν ἡμῖν ἢ περὶ ὄνου παρακύψεως ἔχων. τίνι δὲ καὶ προσελθεῖν καθ᾽ ἡμῶν βούλει; ὑπάρχῳ; στάθμιον μέγα καὶ μικρὸν παρ᾽ ἡμῖν οὐκ ἔστιν· βασιλεῖ; τῶν ἐπιβούλων ἡμεῖς πόρρω, καὶ τῶν βασι-* f. 194v *λικῶν τιμῶν οὐδὲ γνώριμοι· | ἀλλὰ πατριάρχῃ; ἐπισκόπων αὐτῷ καὶ ἱερέων, οὐ παίδων, εἰ καὶ πάντων, τὴν κυρίαν ἔχει φροντίς. οὐ ταύτῃ τῇ νυκτὶ τὴν ψυχὴν ἡμῶν ἀφαιροῦσιν ἄγγελοι; καὶ τίνι τὰ τῆς κακίας ἐπίχειρα καταλείψομεν; οὐχ ἡμῖν αὐτοῖς ἕψεται; τί μὴ σπουδὴ τοῦτό σοι ἱερεῖ καὶ λειτουργῷ καθεστῶτι θεοῦ πρόσεστι, τὸ τὸν πονηρὸν ἐκ μέσου ἡμῶν ἐξαρθῆναι, καὶ τὴν οὐλὴν αὐτὴν τῆς κακίας ἀφανισθῆναι; ὅτι δὲ νηπίων ψελλίσματα παρεισάγεις ἡμῖν, ἃ καὶ κατὰ μεγάλων ἐξείργασται, καὶ κοῦφον τοῖς πολλοῖς ἐφάνη τοῦτο καὶ οὐδενὸς ἄξιον λόγου, τὸ ἴσον δυναμένων τῶν πρὸς οὓς ἐγένετο ταῦτα ποιεῖν, καὶ διὰ τοῦτο προσελεύσεις καθ᾽ ἡμῶν ἐπὶ δικαστικῶν καὶ ἐκκλησιαστικῶν βημάτων, ὅπερ οὐδὲ νῷ λαβεῖν ἐχρῆν προσεπαπειλεῖς, καίτοι τὴν ὑπὲρ τούτων ἔρευναν ἐπαγγειλαμένους ποιεῖν. εἴπερ οἱ τῆς φιλίας ὅροι ἀμείωτοι διασῴζονται, ὅρα μὴ ἡμᾶς μὲν λαμπροτέρους ποιήσῃς καὶ περιφανεστέρους, κατὰ σαυτοῦ δὲ τὸν ἀνάγυρον κινή-* f. 195 *σεις, ἢ μᾶλλον εἰπεῖν τὸ τῶν μελισσῶν | σμῆνος ἐπὶ σαυτὸν ἐγερεῖς, καὶ τοῖς οἰκείοις εὑρεθήσῃ βαλλόμενος βέλεσιν.*

**69(68). *᾿Αλεξάνδρῳ μητροπολίτῃ Νικαίας*[1].**

---

[1] « Byzantion », ἔνθ᾽ ἀν. 445 καὶ « ᾿Αθηνᾶ », ἔνθ᾽ ἀν. 195.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

f. 197 *70(69). Θωμᾷ καὶ Ἰωάννῃ ἀδελφοῖς.*

*Εἰ βίας τινὸς οὐκ οὔσης, μήτε μὴν φορολόγων πικρῶν ἢ χρήστων κατεπειγόντων, ἡμᾶς οὕτω τὴν αἴτησιν ὑπερέθεσθε, μήτε τῆς ὁλκῆς βαρυνούσης, μήτε τῆς ἐπεκτάσεως τοῦ χρόνου τὴν ἀναβολὴν ἐμποιούσης, πῶς ἂν ἑλκομένοις, ἢ καὶ τόκους μετὰ τῶν κεφαλαίων ἀπαιτουμένοις, χεῖρα δόντες θᾶττον ἠμύνατε; καὶ εἰ ταῖς ἀκταῖς προσκλυζομένους οὐκ ἀνεστήσατε, πῶς ἂν πελαγίους φερομένους ἀκατίοις περιεσώσατε; ἔχεσθε γ' οὖν τῆς τοιαύτης προαιρέσεως, ἔχεσθε· ἡμῖν δ' ἐξαρκέσει πάντως ὁ χρήσας καὶ λόγων ἐχυρῶν καὶ ὁμήρων χωρίς, εἴτ' ἐπισπεύδων εἴτε καὶ μηκύνων τὸ δάνειον.*

*71(70). Θεοδώρῳ μυστικῷ*[1].

f. 197v *72(71). Ἐφραὶμ μοναχῷ.*

*Ἐμοὶ γράμματα ὑμέτερα ἐπέμφθη. δηλοῦν, ἢ καί τι τῷ διακομιστῇ λεχθὲν ἀπὸ στόματος ταῦτ' εἶχε, διασαφοῦν, τῷ σκοπῷ πάντως ἐξακολουθήσας, καὐτὸς διὰ μακροῦ ἐποιησάμην ἂν τὴν γραφήν. ἐπεὶ δὲ μήτε διὰ γράμματος μήτε διὰ ζώσης φωνῆς καταλαβεῖν τι περὶ τῆς ὑμῶν εὐλαβείας*
f. 198 *δεδύνημαι, | ἐκεῖνο τῇ γραφῇ θεῖναι μόνον συνεῖδον, ὃ καὶ μὴ γράφων τίθεμαι δι' εὐχῆς, εὐεκτοῦν ἔχειν σε μετὰ τῆς ψυχῆς τὸ σῶμα, ἐφ' ᾧ πέποιθε πᾶς, ἐλπίζομεν, ἄνθρωπος, κἂν αὐτοὶ τῷ ἐνύλῳ τὸ ἄϋλον οὐκ εὔχρηστον ἔχωμεν. αἴτιον δὲ τῆς ἀμφοτέρων καχεξίας τοῦ μὲν ἡ οἰκεία ῥαστώνη, τοῦ δὲ ἡ τοῦ βίου ἀνωμαλία, καὶ ἡ τῶν φίλων διάστασις. ἀλλ' ἕως ἂν ἡ τοῦ ἀέρος τούτου ἐν ἡμῖν ἀναπνοὴ παραμένῃ, τὴν ἐπὶ χρηστοῖς ἐλπίδα ὁ χρόνος οὐκ ἀφανίσειεν.*

*73. Βασιλείῳ μητροπολίτῃ Νεοκαισαρείας*[2].

f. 199 *74. Θεοδώρῳ κουβουκλεισίῳ καὶ βασιλικῷ κληρικῷ.*

*Τύχην οἱ ἀληθεῖς ἡμᾶς οὐκ ἐῶσιν ἐπιγράφεσθαι λόγοι. ἡ μέντοι οἷς βλέπομεν τῶν γινομένων ἀνωμαλία παράγεσθαί τι καὶ μικρὸν ποιεῖ παρασύρεσθαι. ἀλλ' ὅταν μὲν ὁ νοῦς οὐκ ἠρεμεῖν δύναται καθ' ἑαυτόν, φαντάζεται δὲ τὰ ὑπὲρ αὐτόν, εἶτα τῆς ἀθυμίας ἐνσχεθῇ νέφει τῇ ἀποτυχίᾳ τῆς φαντασίας, ἐκπίπτει τοῦ ἀληθοῦς τότε λόγου, καὶ ἀτάκτως ἐκφέρεσθαι διανοεῖται τὰ δρώμενα. οὐ πάντως δὲ τοιαύταις φέρεται πλάναις, σχολῇ καθ' ἑαυτὸν ἐπισκεπτόμενος, ἃ καὶ διασκοπίζεσθαι καὶ διαλογίζεσθαι εὐσεβές. καὶ γὰρ εἰ καὶ τύχας ἀναπλάττεσθαί τις θέλοι μετὰ τῆς ἀληθοῦς δια-*

---

[1] « Byzantion », ἔνθ' ἀν. 446.
[2] « Byzantion », ἔνθ' ἀν. 447.

30 - 10 - 1957

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*σκέψεως, ἕξει καὶ οὕτω τοῦ ὀρθοῦ λόγου μὴ ἐκπίπτουσαν τὴν διάσκεψιν, f. 199v οὐχ εἱμαρμένας ἢ πεπρωμένας ἢ Ἀδραστείας ἀνατυπῶν, τὰς τῶν | ἀνθρώπων δὲ μᾶλλον γνώμας περισκοπῶν. σοφίᾳ γὰρ ὁ θεὸς διεξάγων τὰ πάντα, σοὶ μὲν τὴν μέσην, ἄλλῳ τὴν ἄνω, ἐμοὶ δὲ τὴν πάντῃ κάτω δέδωκε χώραν, ἵνα διὰ τῆς ἀλλήλων χειραγωγίας ἡ παρ' ἑκάστου γινομένη βοήθεια τὸ κοινωνικὸν εἶναι δείξῃ καὶ φιλάλληλον, καὶ τῷ ἀγαθῷ καὶ ἡμέρῳ τὸν ἄνθρωπον χαρακτηρίζόμενον. ὅσοι μὲν οὖν παραπέλαυσαν ἀνθρώπων ἢ φιλίας ἀδόλου, λεγέσθωσαν τυχεῖν ἀνδρῶν ἀγαθῶν, καὶ κατὰ τοῦτο τύχην ἔχειν ἀναπλαττέσθωσαν ἀγαθήν· ὅσοι δὲ φίλοις μὲν καὶ ἄλλως δυναμένοις εὐεργετεῖν συνδυάζουσι, χάριτος δὲ διὰ τὸ ἐκείνων ἀφιλάλληλον καὶ ἀπάνθρωπον οὐδεμιᾶς ἀπολαύουσιν, διαμαρτῆσαι χρηστῆς ὡς ἀληθῶς νομιζέσθωσαν γνώμης καὶ φιλανθρώπου, καὶ κατὰ τοῦτο τύχης οὐ φαύλης διαπεσεῖν. γνωριζέσθω δέ σοι διὰ τῆς εἰς εὐχὴν καταλήξεως τῶν λεχθέντων ἡ δύναμις, ὅτι καὶ συμβαλεῖν αὐτὰ καὶ πρὸ τῆς ἐξεργασίας διαρκέσεις αὐτός. εἴης μοι τῶν ἀληθῶν ἀλλὰ μὴ πλαστῶν φίλων, τῶν χρηστῶν καὶ ἡμέρων ἀλλὰ f. 200 μὴ τῶν | ἀπηγριωμένων ἀνδρῶν, τῶν ἐλεούντων, ἐπεὶ καὶ ἠλέησαι, ἀλλὰ μὴ τῶν ἀνέλεον ἐχόντων διάθεσιν, οἳ καὶ διὰ τὸ παρ' ἄλλων ἐλεηθῆναι ἐλέους ἄξιοι πλείονος, τὸν ἔλεον οὐ προκαλούμενοι τοῦ θεοῦ. γένοιτο δὲ καὶ τύχην περιθέσθαι διὰ σοῦ μείζονα τῇ ἀποθέσει τῆς μείονος.*

*75.*

*Οὔτε τῇ προτεραίᾳ οὔτε τὸ τῇ νῦν ἡμέρᾳ γενόμενον ἀγαθῶν ἡμῖν γέγονε προοιμίων ἀρχή· ἐν ἐκείνῃ μὲν γὰρ ὅπερ πρὸς κοινὴν ὠφέλειαν ἔμελλε γίνεσθαι παρ' ἡμῶν, κατὰ τὸ δοκοῦν ἡμῖν κριθὲν οὐ κακῶς, καὶ τῇ πρὸς ἡμᾶς ὁμιλίᾳ, καὶ τῷ τοῦ νοὸς ὡς ἡ γλῶσσα προὔφαινεν φρονήματι, ἐναντίον σοι κατεφαίνετο. ἐδήλου δὲ τὰ λεγόμενα ἡ σὴ ἀφ' ἡμῶν σύνταξις, οὐ γεγονυῖα κατὰ τὸ δέον, οὔτε τῇ τῶν γονάτων κλίσει, οὔτε τῇ ὑστάτῃ προσφωνήσει τοῦ χαῖρε· ἐν τῇ νῦν δέ, τῷ ἶσα τοῖς πολλοῖς σε φρονῆσαι, δι' οὗ προείλου καταπεῖσαι τὸν ἀδελφὸν εἶξαι τοῖς ἡμετέροις ἥκιστα λογισμοῖς. καὶ εἰ μὲν ὑπερέχειν τῶν ἄλλων δοκεῖς, τί τοῖς ἐκείνων συμφύρῃ φρονήμασιν, εἰς τὰ παρ' ἐκείνων ἀλόγως ὁμοφωνούμενα διαφωνῶν f. 200v αὐτὸς ἀλογώτερον; εἰ δὲ ἶσος ἐκείνων εἶ | τί τῷ ὑπερέχειν κομπάζεις διαφέρων τούτων οὐδέν; ταῦτα πικρίᾳ ψυχῆς ἐσχεδιάσαμεν ἀνθ' ἑτέρων ἕτερα, καὶ ὄψει θεασάμενοι καὶ ἀκοῇ κατακούσαντες.*

***76. Εὐσταθίῳ πρωτοσπαθαρίῳ.***

*Ἦρον τίνος δεόμεθα· ἤκουσας· ἀκούσας κατένευσας· τὸ κωλύον γὰρ οὐκ ἦν τὴν κατάνευσιν. ἐπισκοπῶν οὖν ἐν καιρῷ τὴν πρὸς ἡμᾶς σου ἐρώ-*

---

1452 *παρ-ραπελευσαν* cod.



Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

τησιν δύο ταῦτα ἔχουσαν τὰ καλά, ἀφορμὴν εὐεργεσίας καὶ φιλίας ἀπομνη-
μόνευμα, καὶ ὅτι μόνῳ σοι τούτων ὁ ἔπαινος ἀποτεθησαύρισται, συνεπι-
σκοπῶν δὲ καὶ τὴν αἴτησιν οὐ μερίτας μετὰ τὴν ἔκβασιν ποιοῦσαν ὑμᾶς
τοῦ μισθοῦ, ἀλλ' εἰς ὑμᾶς ἀνατιθεμένην τὸ πᾶν, τοὺς λόγους εἰς ἔργον
προβῆναι τῇ ὑπομνήσει τοῦ ἡμετέρου ἐπείχθητι γράμματος· ἐφ' ᾧ καὶ
πέποιθε πλέον ὁ τοῦτο διακομιζόμενος πρὸς τὴν ὑμῶν ὑπεροχὴν γέρων ἢ
Χρύσης ἐκεῖνος τῇ τε τοῦ στέμματος καὶ τοῦ σκήπτρου προσενέξει καὶ
f. 201 τῶν ἀποίνων. ὁρᾷς γὰρ ὅπως προσκαλεῖται πρὸς | ἔλεον καὶ τοὺς ἀνεπι-
στρόφους πάντῃ πρὸς οἶκτον· πρόσχες γήρᾳ βαθεῖ, κύκνειον ἐπᾴδοντι
μέλος, τῇ ἀπαγορεύσει τῆς ἐργώδους ζωῆς. ἴδε πρεσβύτην, οὗ καὶ τὸ
σχῆμα μετὰ τοῦ τρόπου μοι καθ' ἑκάστην ἀνατυπούμενον ὀδυνᾷ τὴν ψυχήν.
δεῖξον ᾧ προσάγειν μέλλεις τὴν ὑπὲρ αὐτοῦ πρεσβείαν, εἴ τι πρὸς τὴν πρε-
σβείαν ἀπαγορεύοι, τρίχας λευκὰς καὶ γῆρας Τιθώνειον καὶ τυχὸν πρὸς τὴν
χρονίαν ῥογὰν οὐ διαρκεῖ. μὴ τῇ ἐξ ἡμέρας εἰς ἡμέραν ἀναβολῇ ἀστοχή-
σῃς τοιούτου σοι εἰς ἐκείνην τὴν ἡμέραν ἀποκεισομένου μισθοῦ. οἶδας γὰρ
ὁποία κατάγνωσις τῶν ὑπερτιθεμένων ἐξήρτηται τὸ καλόν. εἰ βούλει δὲ
καὶ τὴν πανσέληνον ἀναμνήσθητι τῶν Λακεδαιμονίων ἀναβολὴν συνεισε-
f. 201v νεγκοῦσαν πρὸς τὴν ἐν Μαραθῶνι μάχην οὐδέν. καὶ αὕτη μὲν ὑπὲρ | τοῦ
γέροντος, ἴσως καὶ παρὰ τὸ εἰκὸς ὅτι πρὸς τοιοῦτον, πρεσβεία. ἐξαρκέ-
σειν γὰρ ἡγοῦμαι πρὸς τὴν τούτου βοήθειαν τὴν ἀπορίαν, τὸ γῆρας, τὸ
τοῦ ἤθους ἁπλοῦν· καὶ δεήσεται τῆς ἡμετέρας γραφῆς οὐδ' ὅλως, ἐξ
οἰκείων ἀτυχημάτων τὸ σὸν χρηστὸν ἐκκαλούμενος ἢ τῶν τυμβευσόντων
οἱ πρὸς ὁσίαν προκείμενοι. ἀλλ' εἴ σου τὴν εἰς ἡμᾶς, εἴπερ οὐκ ἀπείρη-
ταί σοι, φιλίαν βούλει γνωσθῆναι, γράμμα σὸν εἰς ἔργον ἐκβὰν τὴν αἴτη-
σιν ἀπαγγέλλον σταλήτω. οἶδα γὰρ ὅτι ὁ τὴν ἀρχὴν πρὸς ταύτην ἐκκαλεσά-
μενος, πρὸς τὴν αὐτῆς οὐ δυσχερανεῖς ἐκπλήρωσιν ἐκκαλούμενος. εἴ τι οὖν
ἐπακολουθοῦν συνορᾷς μόνον, ἵνα τύχῃ βοηθείας ὁ γέρων, ποιεῖν μὴ ἀπα-
ξιώσῃς· δεήσεις συχνάς, ὑποσχέσεις ἀντὶ τούτου χαρίτων, ἀντιξύων, τὸ τοῦ
f. 202 λόγου, τὸν ξύοντα, δόσιν | εἰ τύχοι τινά· καὶ γὰρ μηδὲ τὸν Φοῖβον λόγος
χαλκοῦ χωρὶς ἐκμαντεύεσθαι. ἕξεις δ' ἀντὶ τούτων τίνα μισθόν; ὅσον καὶ
οἷον ἡ δεσποτική σοι ἐπισημαίνει παραίνεσις. εἰκασθήσῃ δὲ τίνι; θεῷ·
τῶν καταπονουμένων γὰρ αὐτὸς βοηθός. ὁ παλαιὸς μὲν οὖν ἐκεῖνος γέρων
παρακουσθείς, παρειμένας πρὸς θεὸν χεῖρας ἐκτείνας ἀγαθῶν σοι μυρίων
γενήσεται αἴτιος· ἐγὼ δὲ χάριν εὑρὼν ἐν τούτῳ λήψομαι καὶ παρ' ἄλλων
ἀφορμὰς ἑτέρων ἐπιστολῶν. προφάσεις γὰρ τοῖς δυναμένοις εὐποιίας πολ-
λαί, καὶ ἐκκρεμεῖς αὐτῶν γίνονται διὰ τοῦτο πολλοί. μὴ εὑρὼν δέ, ὅσον
ἀτιμότατος εἶναι φίλος τοῖς αἰτοῦσιν οὐκ αἰδήσομαι λέγειν, ὅτι μοι καὶ τὸ
ὑποσχεθὲν πάλιν ἀγρετὸν καὶ ἀπατηλὸν ἀπέβη καὶ ἀτελεύτητον. |

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

f. 202v **77. Τῷ αὐτῷ.**

*Χάριν ἰδοὺ δευτέραν παρὰ τῆς ὑμῶν μεγαλειότητος αἰτοῦμεν λαβεῖν· οὐκ οἶδα δὲ εἰ καταθήσειν ταύτην βουληθείης αὐτός. ὁ μὲν οὖν ἡμέτερος οὐκ ἀπέκλινε πρὸς τοῦτο σκοπός, δευτέραν προσθεῖναι γραφὴν πρὶν ἢ διαγνῶναι εἰς οἷον ἥξει πέρας τῆς προτέρας τὸ αἴτημα. ἔφασκε δὲ μεθήσειν ὁ ἄνθρωπος οὐδαμῶς, τὸ ἀπαραίτητον ἀφορμὴν τιθέμενος τῆς ὁδοῦ, καὶ ὡς οὐκ ἐνεργὲς μὴ νῦν δοθὲν ἀποβήσεσθαι τὸ γράμμα διατεινόμενος. κολακικῶν οὖν ἀποστὰς λογυδρίων καὶ ἰδιωτικῶν, ὅτι μοι πρὸς θρέμμα λόγων καὶ φίλον χρηστὸν ἡ γραφή, εἰς αὐτὴν καθίημι τὴν ὑπόθεσιν τῆς αἰτήσεως· ἐπηρείας ἀπαλλαγὴν εὕροι πάσης ὁ ἄνθρωπος, ἀνθ' ἱκετηρίου ἐπισείων σοι κλάδου τὴν ἡμετέραν γραφήν. τοῦτο γάρ σου τὴν δύναμιν οὐχ ὑπεραῖρον εἰδὼς ἐξητήσατο παρ' ἡμῶν. ὅτι δὲ μήθ' οὗτος κενὴν ἔσχε πεποίθησιν, μήθ' ἡμεῖς οὐκ ἐπίσκοπα βάλλομεν, ὑποστρέψας ἐρεῖ. τὰ σαυ-* f. 203 *τοῦ γ' οὖν μιμού|μενος, ποθεινότατε,—τοῦτο γὰρ ἢ τὸ εὐκλεέστατε, καὶ εἴ τι τοὺς βλακώδεις ὁμοιόσημον ἢ καὶ ὑπερέχον ἐπαίρει καὶ ἐπικλᾷ, ἐμοὶ γ' οὖν ὀνομάζειν σε ἥδιον καταφαίνεται — ἄξια καὶ τοῦ τρόπου καὶ τοῦ γένους ποιῶν, δίδου τι καὶ θεῷ καὶ φίλοις εὐποιίας μερίδα, τοῖς μὲν τὸν τῆς φιλίας ἐπιτείνειν δεσμόν, τῷ δὲ μείζονος ἀντιδόσεως διδοὺς ἀφορμήν.*

**78. Παύλῳ διακόνῳ καὶ χαρτουλαρίῳ.**

*Καὶ διότι σός, φίλων γὰρ ὁ χρηστὸς εἶ, καὶ διότι ἡμέτερος, πατρίδος γὰρ ὁ μαθητευόμενος τῆς αὐτῆς, ὑποτελεῖν οὐκ ἔδει μισθούς, προχεῖσθαι δὲ τὸ τῆς διδασκαλίας τούτῳ νᾶμα δίκαιον ἦν, μὴ ἐνδιδόντι τὸ ἀρύεσθαι μόνον, ἀλλὰ τὸ πανταχόσε περισκοπεῖν καὶ συνεσταλμένας χεῖρας ὁρᾶν· προθέσεως ἔχουσιν· ἀποκέκλεισται ἡμῖν ἐκεῖνο ποιεῖν, μὴ ἀγνοοῦντι γάρ, οἶδας, ὁποίᾳ λέγομεν καιροῦ φορᾷ περιεστοιχίσμεθα. τὸ μέντοι σταλὲν γνώμης ἁπλῆς ἐνδέον εἶχεν οὐδέν, τοῦ γράμματος αὐτῇ τῇ* f. 203v *συναποστολῇ βεβαιοῦν. | τὸ μὲν γὰρ ἀσαφῆ τὰ τοῦ νοῦ, τὸ δὲ δῆλα τὰ ἀπὸ καρδίας ἐκκαλύπτων, τὸ τοῦ λόγου, ποιεῖ.*

**79(77). Θεοδώρῳ πρωτονοταρίῳ.**

*Οἵαις οὐκ οἶδα πεποιθὼς ἐλπίσιν, ἢ πάντως μηδ' ὃ ποιεῖν ᾑρεῖτο τῇ κατοχῇ τοῦ πάθους εἰδώς, ἱκέτης πρὸς ἡμᾶς ἐγένετό τις τῶν σῶν, καὶ δι' ὧν ἔλεγε, καὶ δι' ὧν ἐποίει τὰ ἱκετῶν ἐνδεικνύμενος. ἐλεεῖν μὲν οὖν εἶχον αὐτὸν καὶ τῆς συμφορᾶς καὶ τῆς παρακοπῆς ἕνεκα τῶν φρενῶν· κατελεεῖσθαι γὰρ ἄξιος καὶ κατ' ἀμφότερα ἦν, ὅτι τε τοιούτου προσώπου ξένον ἔδειξεν ἑαυτόν, ὅτι τε καταφυγῆς οὐκ ἀσφαλοῦς ἐδεήθη, καὶ μετὰ τὴν πρεσβείαν παραλογισμοῦ μοίρᾳ καθιστῶν ἑαυτόν. ἀναλεγόμενος δὲ τὸ μετὰ τὴν ἀπόπτωσιν ἐκείνῳ πραχθέν, βλέπων δὲ ταὐτὰ συνδρῶντα καὶ ὃν τούτῳ προσήκοντα ἐδήλου ἡ ἐπιφάνεια, ὃς καὶ σχῆμα πάντοτε καὶ τρόπους ὑπο-*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

φαίνει μοι ἀνδρὸς ἀγαθοῦ, ἆρα οὐ κενή μοι ἡ πρὸς τὸν κύριόν μου τὸν f. 204 πρωτονοτάριον | συνήθεια γέγονεν; οὐ μάτην δὲ πρὸς ἓν ὁ νοῦς ἀπησχόληται, ἀπὸ τούτου πρὸς τοῦτο μεταπίπτων, ἣν ἐξ ἀρχῆς ὑπόνοιαν ἔδωκεν, ὡς οὐ φαύλην οὖσαν, τηρῶν εἰς ἀεί. οὐ γὰρ ἂν ὑπεύθυνος καὶ ἀπόβλητος, ἀξιῶν μετὰ τῆς ἀνακλήσεως καὶ πολλῶν εὕρεσθαι λύσιν χρεῶν, καταφυγίου χρείαν ἔσχεν, μικροῦ δέον Ἁρμοδίους ζητεῖν ἢ Ἀριστογείτονας, εἴ τι παρὰ τῷ κυρίῳ συνορᾶν εἶχεν ἐμὲ τῶν ἄλλων καθυστερεῖν. τὸν δι᾽ ὃν εἴρηται ταῦτα γνούς, οἶδ᾽ ὅτι καὶ θάρσος τὸ ἡμέτερον θράσος, καὶ νῆψιν τὴν ἐκείνου λογίσῃ παραφοράν, καὶ λέων ὢν δῆγμα παραλογίσῃ μυός, παρ᾽ αὐτοῦ μὲν οὔ, παρὰ θεοῦ δὲ τῆς ἀφέσεως ταύτης κομιεῖσθαι τὴν ἀμοιβὴν προσδοκῶν.

## 80(78). Τοῖς τῆς σχολῆς ἐπιστατοῦσιν.

Οὐ πικρὸς ἐγὼ διαιτητὴς τὸ αἱρεθὲν ὑμῖν ἐκφαυλίζων, ἐπιψηφιζόμενος δὲ τὰ παρ᾽ ἐμαυτοῦ. ἀλλ᾽ ἔσομαι τῆς αἱρέσεως σύμψηφος, εἰ μία τῶν πάντων γνώμη καὶ οὐ διάφορος, καὶ εἰ πρὸς ζῆλον ἀλλ᾽ οὐκ εἰς ἔριν ὁρᾷ. f. 204v κρίνατε οὖν ἐν | ὑμῖν αὐτοῖς· ὃ κριθέν, ἀπ᾽ ἀρχῆς ἔχον τὴν ἀρχὴν ἀγαθῆς, τελευτῶν δ᾽ εἰς χρηστόν, ἕξει τὸ τῆς παροιμίας ἐπισφραγίζον «ἄρξομαι δ᾽ ἐξ ἀγαθοῖο, τελευτήσω δ᾽ ἐς ἄμεινον». ἐμοὶ δ᾽ οὐ τὸ πλῆθος δόξα, ἀλλ᾽ ἡ τῶν ὄντων ὑπόπτωσις.

## 81(79). Θεοδώρῳ κουβουκλεισίῳ καὶ βασιλικῷ κληρικῷ.

Τὸ τῆς τύχης ταπεινὸν ἡμῶν διαγνούς, γράμμασιν ἐχρήσω τοιούτοις καθικνεῖσθαι δυναμένοις μέχρι καὶ μυελῶν. ἀλλ᾽ οὔτε σοὶ τῷ ὑπηρετεῖν βασιλεῖ καὶ ἐπῆρθαι τύχῃ μέτρον ὑπερβαίνειν δέδοται γλώττης, ὡς ἄκριτα φθέγγεσθαι καὶ τῶν ἀπαιδεύτων τοὺς πεπαιδευμένους μὴ διαστέλλειν, οὔτε ἡμῖν συνταπεινοῦν τῇ τύχῃ τῆς παιδείας ἐπετράπη τὴν παρρησίαν, προβατώδεις ὥστε καὶ ἠλιθίους ὑποτοπεῖσθαί τισι, τῷ δηγμὸν ὕβρεως ἀγνοεῖν. βαρύνεσθαι γὰρ ὑπ᾽ αὐτῆς καὶ τὸν λίαν ἐσθλόν, καὶ φέρειν ταύτην οὐκ ἐξισχύειν ῥαδίως, οἱ ἡμέτεροι εἰρήκασι ποιηταί. οὔτε οὖν ὡς ἐνδεὴς φρενῶν τὴν ἐπίπληξιν ἀγνοήσας, οὔτε εἴξας πλεῖον οὐχ οἷός τε ὢν τῶν ἄλλων f. 205 φιλοσοφεῖν, τὰ ἀπὸ καρδίας, τῷ τοὺς σοὺς θυμο|δακεῖς εἶναι λόγους δηχθεὶς τὴν ψυχήν, γράψαι προῄρημαι. δεῖ σέ, ὦ χρηστὲ φίλε, εἰ δὲ ταπεινοῖ σε τοῦτο, δέσποτα καὶ ὑπερέχων καὶ διάκονε βασιλέως καὶ κύριε, τοὺς ἡγεμόνας τῆς παιδείας, ἵνα μηδὲν πλέον εἴπω, τιμᾶν. τὸ δὲ αὐθάδως κατεπαίρεσθαι τούτων, καὶ τραχέως ἀνδραπόδοις ὥσπερ προσφέρεσθαι, σκόπει μὴ οὐκ ἀνδρὸς εἰδότος ἐστὶ παιδείαν τιμᾶν. γέγονας δὲ ὁποῖος εἶ, καὶ σφα-

---

1573 ἔχον A² ἔχων A

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*λέντας ἡμᾶς ἔγνως εἰς σέ, παιδὸς ἕνεκα δεομένου παιδαγωγοῦ, τοιοῦτος ἡμῖν ἐπενεχθείς, ἢ πάντως καὶ τοῖς νώτοις ἡμῶν ἐπέθου πληγάς, ἕνα τῶν δημοσίῳ κατειλημμένων ἀδικήματι λογισάμενος. ὀλίγα σοι ταῦτα, τὴν γραφὴν ἀποτείνειν οὐ θέλοντες, εἴπομεν. ἀγνοῶν δὲ ἴσθι καὶ τοῦτο, ὡς ἀκροατὰς μειζόνων μαθημάτων ἐφαψαμένους ἔχοντες, κἂν αὐτὸς οὐδὲν — ὢ λόγοι καὶ παιδεία, ποῦ τὸ ὑμέτερον κεχώρηκε τίμιον; — διατείνη διδά-* f. 205v *σκειν ἡμᾶς, τὴν ἐπισκοπὴν ἐκείνοις τῶν ἐλαττόνων | ἐνεχειρίσαμεν, τὴν ὅσον ἐξῆν μετὰ τῆς δεούσης παραφυλακῆς ἐπιμέλειαν βλέποντες, ὑστεροῦντος τῶν ὀφειλόντων γίνεσθαι οὐδενός, οὐδὲ τῆς ἐπιστασίας ἀπολειπομένους πάντη τῆς ἡμετέρας. εἰ δὲ φύσιν συνορᾷς ἐναντίαν, ἢ τρόπον κέντρου πλείονος δεόμενον, καὶ διὰ τοῦτο συλλαβαῖς ἔτι βούλει περικαθῆσθαι ἡμᾶς, καὶ τῶν μεγάλων ἀφεμένους φροντίδων ἐναπασχολεῖσθαι ῥηματίοις μικροῖς, παρακάλει καὶ μὴ ἐπίπληττε· ὅτι οὔτε πρὸς τριωβολιμαίους, οὔτε πρὸς χρηστοῦ τινος ἀπολαύσαντας ἡ ἐπίπληξις. εἰ δὲ καὶ χρέει καὶ ὀφλήμασιν ὑποπίπτοις, ἕξεις ἔπαινον ἐπαινετέος οὐκ ὤν, πρὸς τὴν ἔκτισιν μὴ ἀδυνατῶν.*

### 82(80). Τῷ αὐτῷ.

*Καὶ πῶς οὐκ ἔμελλον καταστήσειν εἰς εὐθυμίαν τὸν λογισμόν, καὶ πρὸς ἠρεμίαν μετενεγκεῖν ἐκ πολλῆς ταραχῆς, καὶ πείσειν ἡττηθῆναι παρὰ πολύ, τοῖς ποθεινοῖς σου γράμμασιν ἐντυχών; ὅτι γὰρ παλλόμενον ἔστη-* f. 206 *σας, οὐκ ἀρ|νούμενοι λέγομεν, ἐπεὶ ὅτι καὶ τοῦ πάλλεσθαι αὐτὸς τὴν ἀρχὴν δέδωκας οὐ διεψευσάμεθα. πλὴν καὶ ἡ προσβολὴ ὀλιγωρίας, καὶ ἡ περιτροπὴ ἀσθενείας, καὶ ἠλέγχθημεν ὁ προσβαλὼν σὺ καὶ ὁ περιτραπεὶς ἐγώ, πάθεσιν ἁλόντες ψυχῆς· καὶ τοῦτο ἀνθρώπινον. ἀλλ᾽ οὖν καὶ περιτρέψας ἔχεις τὸ ἐγκαλεῖν, ὅτι καὶ περιτραπέντας ἀνέστησας. ἡμῖν δὲ οὐκ ἐξεγένετο ἀντισχεῖν· ἀντέχειν γὰρ οὐδὲ ἱκανοί, περιτρεπόντων καὶ ὠθούντων πολλῶν, ἄλλως τε καὶ ψυχὴν ἀφιλόσοφον ἔχοντες, κἂν τὸ οὐκ ὂν ὡς ὂν ἡ φιλόσοφός μοι τῷ ὄντι καὶ ἁπλῇ διεπλάσω ψυχή. εἶχε μέντοι ἐξετασθὲν μετὰ τοῦ ἤθεος τὸ γράμμα καὶ πρόσαντες· δόξαν γὰρ ἀπετείνατο τύχης ἕξειν οὐκ ἔχον τὴν ἡμετέραν γραφήν. καὶ τοῦτο διὰ τῆς ἀποφάσεως ἐδήλου, τὸ οὐκ εἶναι τύχην παρὰ Χριστιανοῖς. ἀλλ᾽ εἰ τὸ τῆς τύχης ὄνομα σκανδαλίζει σε, ἀπαλλάγηθι τοῦ σκανδάλου· ἑκάστῳ γὰρ ἡμῶν ἡ τέχνη ἀπὸ* f. 206v *τριῶν τούτων, ψυχῆς, σώματος, τύχης, ἢ τῶν ἐκτός, ἔχει | διορισμόν, ἐπαίνου ἢ ψόγου δίδωσιν ἀφορμήν. καὶ ἔστι ψυχῆς μὲν ὅτι δίκαιος ἢ ἀκρατής, σώματος ὅτι εὐσθενὴς ἢ ἀκαλλής, τύχης δὲ ὅτι εὔπορος ἢ ἄδοξος. καὶ εἰ τῷ τῆς τέχνης ἑπομένους σκοπῷ τὸ τῆς τύχης εὗρες ὄνομα χρησαμένους, μὴ καὶ ἐξηρτῆσθαι νόμιζε τῆς τύχης ἡμᾶς, θεῷ δὲ μᾶλλον τείνειν τὸ ὄμμα καὶ πρὸς ἐκεῖνον βλέπειν, παρ᾽ οὗ συμφερόντως τὰ ἡμέτερα διεξάγεται, κἂν ἰλυώ-*

---

1601 an *ἀπολειπομένου?* 1603 *δεομένου* cod.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

δεις ὄντες καὶ σαρκικοὶ φρονεῖν οὐ θέλομεν τὰ τοῦ πνεύματος. εἶχε δέ τι καὶ ὀνείδους, πολλῶν λέγων ἄρχειν ἡμᾶς, καὶ ἀνδρῶν θηρᾶσθαι τιμίων καὶ μεγάλων τιμήν, καὶ γνωρίμους εἶναι καὶ μεγιστᾶσιν, οἳ καὶ τοῖς ὑπὸ χεῖρα σχεδὸν ἀγνοούμεθα, χειρισόφων ἢ φιλοσόφων ἐθελόντων εἶναι πολλῶν, καὶ φιλαυτίας μᾶλλον ἢ φιλαλληλίας ἐπικρατούσης, καὶ δώρων ἀλλ᾽ οὐ λόγων φιλοτιμουμένων τανῦν, μήτε τὰ τοῦ πλησίον ἀλλὰ τὰ ἑαυτοῦ ζητοῦντος ἑκάστου. ἀλλ᾽ οὔτε ὡς ὑπείληφας τὸ ἐπαινετὸν οὐκ ἔχειν σε εἴπομεν — πῶς γὰρ
f. 207 ἂν οἱ μηδὲν ἐπαίνου ⟨ἄξιον⟩ πεποιηκότες ἡμεῖς | τὸν κατὰ πολλὰ δίκαιον ἐπαινεῖσθαι ἀμοιρεῖν ἐπαίνου διετεινάμεθα ; — ἀλλ᾽ οὐκ εἴ τις ἐπαινεῖται, ἤδη καὶ καθάπαξ ἐπίκλημα διαπέφευγε μέμψεως. σὰρξ γάρ ἐστιν ᾗ συνδεδέμεθα, καὶ πλείους τοῦ προσκόπτειν παρέχει τὰς ἀφορμάς. ἐπανῆξας δ᾽ οὖν ὅμως ἡμᾶς πρὸς τὸ εὐθυμεῖν, ὅτι καὶ οὕτω ληφθὲν λαβὴν μειῶσαι τὴν ἀγάπην ἢ τὸν ἀγαθὸν τρόπον οὐκ ἔδωκεν. καὶ θάρρει τούτου γε ἕνεκεν, ὅτι ὅσα συντείνει πρὸς παιδείαν τοῦ παιδείας δεομένου πολλῆς οὐκ ἐλλείψομεν, καὶ κατ᾽ ἐνώπιον ἡμῶν τοὺς αὐτὸν διερωτῶντας ἱστῶντες, καὶ αὐτοὶ τὰ ἐκείνων ἀναπληροῦντες ἐλλείμματα. κἂν μὲν ἔχουσα προέλθοι καρπὸν ἡ σπουδή, τὸ ζητούμενον ἕξεις· τὸ πρόθυμον δὲ ἂν εἰς ἄξιον, ὅπερ ἀπεύχομαι, κατ᾽ εὐχῆς ἀποβῇ, καὶ ἡμεῖς τὴν ἣν ἔγραψας ἔχειν φροντίδα περὶ ἡμῶν ἀποβᾶσαν, καὶ μὴ ἐκεῖ μὲν χάριν εἰσόμεθα, ὧδε δὲ οὐκ ἀχαριστήσομεν. σκῶλα γὰρ ἐν μέσῳ πολλά. καὶ οὐ καθ᾽ ὃ θέλοι τις ἡ ἔκβασις γίνεται. |

**83(80). Θεοδώρῳ πρωτοσπαθαρίῳ καὶ μυστικῷ[1] (207r).**

**84(82). Τῷ αὐτῷ[1].**

**85(83). Λέοντι μητροπολίτῃ Σάρδεων (207r - 208v).**

Ἔχω τι τοιοῦτον ὁρᾶν περὶ ἐμαυτόν, τἄλλα φύσεως οὐκ ὢν δεξιᾶς· ἐξ ὧν ἐχόμενος, οὗ ἂν ἡ ὅρασις μετὰ τῆς ἀκοῆς ἀντιλάβηται, τῷ μὴ ἀντιλαβέσθαι κατὰ καιρὸν μεταμέλομαι. καὶ τί γὰρ τούτου ἀσυνετώτερον, τοῖς μὴ χρόνῳ σχοῦσιν ἀδιάψευστον τοῦ καλοῦ ἢ τοῦ κακοῦ τὴν ὑπόνοιαν προσέχειν εἰκῇ ; ἐνὶ περιεσκόπησα οὐχ ἁπλῶς ἐπιβάλλειν. πολλοῖς ὁ ὀφθαλμὸς ἐπέστησεν ὁ ἡμέτερος, καὶ μήτε διὰ λόγων ὡμιληκόσιν, οἳ τὸν προβολέα οἷος, ὡς οἱ καρποὶ τὰ δένδρα, δεικνύουσι, μήτε συνηθείᾳ, ἣ καὶ τό τισι προστετηκέναι δίδωσι, τὸ προσὸν καλὸν ἐξενεγκοῦσιν εἰς φῶς, ἔπεισε τὸν τῆς καρδίας
f. 209 πόθον τούτοις προσσχεῖν, καὶ εἰς ἀεὶ παραμέ|νον τὸ τῆς ἀγάπης ἀποσώζειν ἐμπύρευμα. οὐκ εἶχε δὲ τί καταιτιᾶσθαι τῆς πρώτης ἐπιβολῆς ἡ μετὰ ταῦτα ἐφ᾽ ἑνὶ καὶ δευτέρῳ διάγνωσις· ἀλλ᾽ εἰ καὶ μὴ ἀκαίρως προσέξειν τῇ μετὰ

1637 ἄξιον addidi.

[1] « Byzantion », ἔνθ᾽ ἀν. 448.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

ταῦτα πείρᾳ ἐγίνωσκον, εὐλαβῶς καὶ οὕτως εἶχον ἀπονέμειν τὸν ἔπαινον
ἐμαυτῷ. διὰ τί; ὅτι μὴ τῷ ὀφθαλμῷ τὸ πᾶν ἐπέτρεψα τῆς ἐπιβολῆς, οὐδ᾽ ἡ
ἐκείνου περιαγωγὴ τὴν κατὰ βάθους μοι δέδωκε γνῶσιν. ἐπῄνουν γάρ, εἰ
οὕτως ἦν, ὡς Ἀστυδάμας τὰ ἐμαυτοῦ. ἐκεῖθεν δέ μοι καὶ τὴν ἐναπέρεισιν
οὐ ματαίαν ἔχει ὁ ὀφθαλμός, καὶ ἡ μετ᾽ αὐτὸν διάσκεψις ἀπαραποίητος
γίνεται, καὶ μείωσιν ὁ ἐγκάρδιος οὐ δέχεται πόθος, ὅθεν οὐδὲ θέλοντι
προσγίνεται τὸ μεταφρονεῖν. καὶ γὰρ εἰ τὸ καλὸν ὅτι πρὸς ἑαυτὸ ἐκκαλεῖται
εἴρηται πάντως, πῶς τὸν δι᾽ ὅλου τὴν τοῦ καλοῦ στέρξαντα κλῆσιν, ὡς
τούτῳ παρὰ πάντων τῶν ἀγαπώντων τὸ καλὸν ἐξακούεσθαι τῷ ὀνόματι, μὴ
ἀγαπᾶν αἱρήσομαι ἐκ ψυχῆς; πῶς δὲ καὶ τρυφᾶν τῆς ἐκείνου θέας οὐκ ἐπι-
f. 209v στήσω τὸν ὀφθαλμόν; | καὶ πῶς τοὺς περὶ τούτου δέχεσθαι λόγους οὐκ
ἐπανοίξω τὴν ἀκοήν; εἰς τοῦτο γὰρ ἐγὼ μοίρας ἐπαίνου οὐ πάντῃ ἀμέτο-
χος, τοιούτοις ἀνδράσι θέλων συγγίνεσθαι, καὶ τὸν εἰς αὐτοὺς ἀπλήστως
ἔχειν ἀδιάβλητον ἔρωτα. καὶ μεταπίπτοντά με εἰς ἑτέραν δόξαν εὕροι τις
οὐδαμῶς· ἐπεὶ ὀλίγους εἶδον τὸ οἰκεῖον εἰς ἅπαντας ἀνθρώπους, ὡς ὁ τῶν
ὅλων εἶπεν θεός, ἐπιλάμψαντας φῶς. τοιοῦτός μοι προσγέγονε καθαρὸς καὶ
δόλου ἀμέθεκτος πόθος πρὸς σὲ τὸν καὶ θεῷ καὶ τὰ θεοῦ φρονοῦσιν ἐγνω-
σμένον ἀνθρώποις, καὶ ἐκ τοιαύτης προφάσεως. καὶ οὕτως ὅλον σε ὁ νοῦς
ὁ ἡμέτερος ἀνεμάξατο, ὡς μήτε σχεῖν ἀναμνήσεως χρείαν, ἐξ οὗ τὴν τιμίαν
ἐμοὶ προσλαλιὰν τὸ ταπεινὸν ἡμῶν ἐδέξατο οὖς, ἐντυπωθείσης ὥσπερ ἐν
τούτῳ τῆς μνήμης ἐκείνης, ἣ διηνεκῆ τὴν οἱονεὶ συνόρασιν περιφέρουσα καὶ
συνομιλίαν κατευφραίνει καὶ τὸν πόθον ἡμῶν διεγείρει. καὶ ἦν ἂν μὴ συγ-
χωννύμενος ὁ πόθος, ἀλλ᾽ εἰς τὸ φανερὸν προερχόμενος, εἰ χαμαὶ κειμέ-
f. 210 νους οὐκ εἶχεν ἡμᾶς ἡσυχοῦ|σα καὶ συνθλίβουσα τοῦ βίου περίστασις. νῦν
δὲ φιλεῖν μὲν καὶ τρόπῳ τινὶ προσίεσθαι βιαζόμεθα, ἀνθέλκειν δὲ πλεῖον
πειρώμεθα ἑαυτούς, ἀετοῖς οὐ δυνάμενοι κολοιοὶ ὄντες παρίπτασθαι. ἀλλ᾽
εἰ μέγα μοι καὶ τοῦτο ὑπῆρχεν, ἣν ὅμως ἐκκαλούμενον πρὸς τὸν σὸν τίμιον
χαρακτῆρα, εἰ μετάκλητος ἐγενόμην δι᾽ ἀποστολῆς συνδούλων ἐμῶν. τὸ δὲ
τοιοῦτον πρὸς τοιοῦτον ἐλθεῖν πᾶσαν ἀφορμὴν ἀπωθεῖσθαι συνορῶ παρρη-
σίας· οὐχ ὅτι τὸ διαπραχθὲν μέγα — μέγα γὰρ τοῖς συννεφεῖς ἔχουσι τὰς
ὀφρῦς, τοῖς διὰ θεὸν δὲ τοῦτο ποιοῦσιν οὐ μέγα — ἀλλ᾽ ὅτι χάριτος ἐπειδὰν
ἐγὼ τύχω τοιαύτης, τὸ ἐμαυτοῦ σκοπῶν εὐτελές, οὐδ᾽ ἀντωπεῖν οἷός τε
τοῖς χαρισαμένοις εἰμί. καὶ στενάζω μέν, ὅτι τοιούτοις ἀνωμάλοις ἀπήν-
τησα καιροῖς· ἀνακτῶμαι δέ, ὅτι τ᾽αυτὰ πάσχοντας καὶ ἑτέρους βλέπω. καὶ
εἰ μὴ προελήφθης, ἡ ἁγία μοι τῷ ὄντι ψυχή, παρὰ τῶν οὐδὲν ἢ τοῦτο
ἐπιτηρούντων, γραφέως ποιησάμενος πρόσληψιν, ἔδειξα ἂν ἐξ ἑνὸς εἰς οἵαν
f. 210v τὸ τῆς παιδείας καλὸν ἀπέρριπται καταφρό|νησιν. καὶ ταῦτα συνέγνων γρά-
φειν, μή τι τῶν ὑπὲρ ἐμὲ λογισάμενος — φρενὸς γὰρ ἐξεστηκυίας τοῦτο —
ἀλλ᾽ ὅτι παιδείας μεθ᾽ ἑτέρων ἢ αὐτὸς ἐφιέμενος, περικοπτομένην βλέπω
τῷ βραχεῖ τοῦ καιροῦ πρὶν εἰς τέλος ἧχθαι τὴν ἔφεσιν. καὶ διὰ τοῦτο ἐπαι-

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*νεῖν τὸν εἰπόντα πως ἔχω, ἀσκεῖσθαι μὲν τὸ τιμώμενον, ἀμελεῖσθαι δὲ τὸ ἀτιμαζόμενον.*

### *86(84). Παρθενίῳ ἀσηκρῆτις*[1] (210r - 211r).

### *87(85). Ἰωάννῃ μαθητῇ.*

*Οὔτε τὴν τῆς ἀποστάσεως μεταμέλειαν, οὔτε τὴν δι' ἰάμβων ἐπιστροφὴν
παρωθούμενος — μὴ εἰς ὑπόληψιν πέσοι τοιαύτην ὁ νοῦς — παραβάλλων
ἐκείνοις ἡμᾶς τοῖς ἢ δι' ὑπεροψίαν ἢ διὰ τρόπον σκληρὸν τῆς ἐμπεσούσης,
οἷα τῆς ταπεινῆς ἡμῶν ἡ ἀσθένεια φύσεως, μὴ μεθισταμένοις ὀργῆς. καὶ τί
τὸ ποιῆσαν εἰς τοῦτο οὐκ ἔστι τὴν σιωπήν; τοῦ ἀδελφοῦ τοῦ σοῦ τὸ αὐθέ-
καστον, τὸ ἀκατάλληλόν τε τῶν αὐτοῦ λόγων, ἥ τε τῆς ἀληθείας ἀποστροφή,
καὶ ἡ τῆς μικρολογίας ἐπιστροφή. δέον, εἰ τῆς ἀληθείας καὶ πρὸ τῆς ἀλη-
θείας τοῦ δικαίου προετίμα μηδέν, αἱρεῖσθαι ποιεῖν ἐκεῖνα, τὰ καὶ ἄκοντας
ἡμᾶς εἰς ἀρέσκειαν αὐτοῦ προκαλούμενα, ὁ δὲ εἵλετο μᾶλλον ἀνάδελφος,
ἄφιλος, ἄδικος ὀνομάζεσθαι ἢ τοῦ δικαίου φύλαξ καὶ τῶν φίλων, ἵνα μὴ
f. 211v παιδευτῶν εἴπω, | θεραπευτής, πρὸς δὲ καὶ προνοητὴς τοῦ ὁμαίμονος. ἡμῖν
δὲ δυσφοροῦσι τίς ἐγκαλέσει, πετρώδει γῇ ῥίψασιν, ἀπείροις οὖσι ταύτης,
τὸν σπόρον, καὶ κόνιν ἀμησαμένοις, ἀλλ' οὐ κατὰ στάχυας; οἷον δὲ καὶ τὸ
ἀποβᾶν μάνθανε· σὺ μὲν αἰτεῖς, τυχὸν καλλιεργίας δεόμενος· ἀρνοῦμαι δὲ
ὁ καλλιεργῶν ἐγώ· ὁ χρόνος παραμείβεται, σὺ δὲ τίνων οἶδας τητᾷ. αἱρεῖ-
ται δὲ ὁ καλὸς ἐπίσκοπος κλαίοντας μὲν ἡμᾶς βάλλειν τὰ σπέρματα, αἴρειν
δὲ οὐκ ἐν ἀγαλλιάσει τὰ δράγματα. οὐκ οἶδε δ' ὅτι τριβόλων μενεῖ καὶ ἀκαν-
θῶν μεστὴ ἡ χώρα τῇ ἀνεπισκόπῳ ταύτῃ ἐπισκοπῇ.*

### *88(86). Τῷ πατριάρχῃ*[2] (211r - 213v).

### f. 213v *89(87). Θεοδώρῳ κουβουκλεισίῳ καὶ βασιλικῷ κληρικῷ.*

*Οὐκ ἐπιτείνομεν τὴν παράκλησιν. οἶδα γὰρ ὁποίᾳ ψυχῆς ἐνέτυχον δια-
θέσει, καὶ ἀρκεῖν ἥγημαι ταύτην ἅπαξ προσαγαγών. ὑποφωνῶ δέ, ὡς τοῖς
ἀγωνιζομένοις οἱ ἐν θεάτροις συνειλεγμένοι, ἐνδοῦναί σε μηδαμῶς, μέχρις
f. 214 ἂν ἐκνική|σῃ τῆς καλῆς ἀναιδείας ἡ ἔνστασις. ἐπέσχες γὰρ ἄν, εἰ ταῖς ἤδη
συμβολαῖς ἀπεκρούσθης· ἐπεὶ δὲ κλίνοντα βλέπεις, καὶ μόνον οὐ τὰ νῶτα
διδόντα, στῆσαι τροπαῖον προξενοῦν σοι τὴν ἄνω συμμαχίαν μὴ ἀποκάμοις.*

---

1709 *παραβάλλων* : malim *παραβάλλεις* 1711 *μεθισταμένους* cod.

---

[1] « Ἀθηνᾶ », ἔνθ' ἀν. 196.
[2] « Byzantion », ἔνθ' ἀν. 449.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

**90(88). Τῷ αὐτῷ.**

*Εἰ ταῖς σαῖς ἐναπεδόθη τὸ βιβλίον, γλυκεῖά μοι τῷ ὄντι ψυχή, ὡς ἡ παράκλησις ἀπῄτει χερσί, μεταπεμφθήτω τῷ καταβαλόντι τὴν ὑπὲρ αὐτοῦ ἱκεσίαν ἐμοί. εἰ δὲ λήθη τις ὑποδραμοῦσα ταῖς ἀσχολίαις, ἢ ἀναβολὴ πρὸς τὴν ἀνάληψιν τούτου παρενεπόδισεν, ὑποβάλλον αὖθις τὸ γράμμα προτρεψάτω τὸν βο ἀποπληροῦν τὰ τῆς καταθέσεως, ἵν' ἡ κατάθεσις, οὐ παρέλκουσαν τὴν ἀπόβασιν ἔχουσα, κατάνευσις λογίζοιτο, οὐκ ἀνάνευσις.*

**91(89). Γρηγορίῳ μητροπολίτῃ Ἀγκύρας**[1] (214r - 214v).

f. 214v **92(90). Θωμᾷ καὶ Ἰωάννῃ.**

*Ἐπεὶ τὸ εἶδος ὑμῖν πολυπραγμονεῖται τῆς ἰατρείας, καὶ οὐ μετ' εὐχαρίστου γνώμης προσίεται, καὶ ἐπεὶ ἀλείπται οἷς ποιεῖται καὶ παιδοτρίβαι ἐστέ, οὕτως ἀλλὰ μὴ οὕτως ἀνταγωνίζεσθαι, καὶ τόδε ἀλλὰ μὴ τόδε προφέρεσθαι παρεγκελευόμενοι, οὐχ ὡς γυμναζομένοις δὲ καὶ ὑπὸ ἀλείπταις* f. 215 *οὖσιν, εἰ ἤσκηται ὑμῖν ἡ πρὸς ἐκείνους πειθώ, | ἀκατάλληλά τε καὶ ἀπῳδὰ καὶ ἀνάρμοστα τὰ ἐκείνων ὑμῖν ἐπικρίνεται, πρὸς οὕτω σκληροὺς καὶ οὐδὲν ἢ τὰ ὑποσπαρέντα τῷ λογισμῷ ἀπειθεῖ τρόπῳ βεβαιοῦν μεταμελήσαντας ἀντιμάχεσθαι οὐ δυνάμεθα, ὃ δὲ καὶ ἡμᾶς οὐ βαρύνει, καὶ ὑμᾶς ἐπικρατεῖς τοῦ ζητουμένου ποιεῖ παραινοῦμεν· ὑποκύψατε, καὶ τὸ μεθ' ἑκουσίου γνώμης διδόμενον λάβετε. τὸ ἐνδέον γὰρ ἡ μετὰ ταῦτα ἐπίσκεψις ἀναπλήσει· καὶ μετάμελοι οὐ μὲν οὖν ἔσεσθε. εἰ δὲ τὴν ἰδίαν ζητοῦντες στῆσαι δικαιοσύνην, ὑποτάττειν ἑαυτοὺς τῇ ἀληθεῖ δικαιοσύνῃ οὐ βούλεσθε, καθ' ἑαυτῶν, τὸ τοῦ λόγου, κόνιν ἀμήσετε. ἡμεῖς δέ, ἅτε τοῦ ἀληθοῦς ἐχόμενοι λόγου, τὸν ἔθει Τενεδίῳ, ἐπεὶ τουθ' ὑμῖν πάτριον, προτεινόμενον πέλεκυν οὐ φοβηθησόμεθα. χρέει δὲ σαυτὸν μὴ ὑπόβαλλε, μηδὲ οἷον τὰς ἀποδόσεις ἀξίας ποιεῖσθαι, ὅτι μήτε σοὶ δέουσα ὕπεστιν ἁπλότης, μηθ' ἡμῖν ζυγοῖς ἐπιμετρεῖται τὸ διδασκόμενον. ἀντίρροπον γὰρ οὐχ ὁρῶ τῆς μαθήσεως, κἂν αὐτὸς* f. 215v *ὁ βολ | ἐξωνεῖσθαι ταύτην διανοῇ.*

**93(91). Χριστοφόρῳ χαρτουλαρίῳ τῆς Νέας.**

*Θορυβεῖ μὲν καὶ καθ' αὑτὸ ἠρεμεῖν οὐ ποιεῖ τὸ τῆς ἡλικίας ἀκάθεκτον τὴν ἐπισχέσεως ὅτι πολλῆς δεομένην τῶν νέων ὁρμήν. διὸ καὶ παιδαγωγοὺς ἐφιστᾶσι τούτοις ἀτενὲς ἐνορῶντας, Ἄργου πλέον ἐκείνου τοὺς ὀφθαλμοὺς περιάγοντας. καὶ τὴν φύσιν ὁ τοκεὺς ἀγνοεῖ, καὶ παιδευτὴς δριμὺ ἐπιβλέπει*

---

1739 *βο* quid hoc significet nescio  1760 *ὁβ...* cod. num. *ὀβολῷ?*  1763 *παιδαγωγοῖς* cod.

---

[1] « Byzantion », ἔνθ' ἀν. 450.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*καὶ συννεφές, ἵν' εὐπαράδεκτος οὐκ ἀνεμοφόρητος αὐτοῖς ἡ παραδοχὴ τῆς
παιδεύσεως γένηται· ὃ καὶ ἀκολούθως γινόμενον, ὀλίγους ἐποίησεν τὴν κατα-
βληθεῖσαν σπουδὴν δείξαντας ἐνεργῆ. συγχεομένης δὲ τῆς τάξεως, καὶ ἀφορ-
μῆς εὐκαίρου διδομένης αὐτοῖς, τί τὸ συμβαῖνον; εἰκῇ τὴν καταβολὴν ἡμᾶς
ποιεῖσθαι τοῦ σπέρματος, καὶ γῆν ἀροῦν ἔρημον καὶ ἄνυδρον καὶ ἀπάτητον.
τί δὲ καὶ τὸ θεριζόμενον; κόνις, καὶ τὸ τῆς παροιμίας, ὀδύναι καὶ σφάκε-
λοι. καὶ εἴ ποτε μὲν τῆς ἐπεχομένης ἀπάγων σχολῆς, γραφῇ δὲ προσκαθίζων*
f. 216 *βιβλίων, ποτὲ δὲ ποεῖσθαι βασι|λείοις ποιῶν τὴν τοῦ μαθητιῶντος ἡμῖν, ὡς
φησὶν αὐτός, ἐπέχεις σπουδήν, ἢ μὴ ἀληθῆ λέγοντα δίδασκε, ἢ εἰδὼς ἀλη-
θεύοντα τοῦ κωλύειν ἐπίσχε, ἢ μάτην πονοῦσι μὴ ἐγκαλεῖ ἡμῖν. καὶ γραψό-
μεθά σε ἀχαριστίας.*

***94(92). Τῷ κυρῷ Θεοδώρῳ τῷ μυστικῷ*** [1] (216v).

f. 216v ***95(93). Θεοκτίστῳ λογοθέτῃ καὶ πατρικίῳ ἐπιστολὴ ἀπολογητική.***

*Ἀναπλάσεταί σου μὲν ἡ φιλόθεος ψυχή, τὸ ἑαυτῆς ὡς εἰκὸς εἰλικρινὲς
σκοπουμένη, ἢ παραλογισμόν, ἢ γνώμην ἀπρόσιτον, ἢ ἀγροικικὸν ἦθος καὶ
ἀφελές, ἢ ἄλλο τι τῶν ὅσα ποιεῖν τινα ὑπὸ κατάγνωσιν εἴωθεν. ἀλλ' εἰ
μὲν καὶ ἀπειρία μετὰ τούτων καὶ αἰδὼς ἠριθμεῖτο, αἳ τῶν ἀκαταγνώστων
ἐστίν, εἶπον ἂν κατευστοχεῖν τὴν ἀνατυπουμένην ταῦτα ψυχήν. εἰ δὲ τῷ
ἐκείνων καὶ αὗται οὐ συνηρίθμηνται λογισμῷ, ἰοὺ ἰοὺ τῷ λύπης ἐμαυτὸν ἐπι-
φθέγματι ταλανίσω, ὅτι καὶ ἐν οἷς ἐπαινεῖσθαι δέον, κἀν τούτοις ὁ νῦν κατη-
γορεῖσθαι μετεσκεύασε χρόνος. ἢ οὐ τοῦτο, περιφανέστατε, μέρος ἀποδοχῆς,
μὴ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾶν; ὅπερ ἐστὶ μένειν εἰς τὴν οἰκείαν ἕκαστον
τάξιν, ἀλλὰ μὴ ὑπερβαθμίως ἐκτείνεσθαι. καὶ πῶς ἀντωπῶν ἡλίῳ τις ἀσκαρ-
δαμυκτεὶ οὐκ εἰς τοὺς ἰδίους ὀφθαλμοὺς ἐποίσει τὴν βλάβην; ἐγὼ μὲν οὖν,
ὅσον τὸ τῆς τάξεως οὐκ ἀγνοῶν ὑποβεβηκός, βοῦν ἐπιτίθημι τῇ γλώττῃ τῶν
πέρα χρωμένων τῇ παρρησίᾳ τὴν ἔκτισιν δεδοικώς. συνήνεγκε γὰρ τῷ ἰκτίνῳ*
f. 217 *οὐδὲν τῷ γενναίῳ τῶν | ἵππων ἁμιλληθέντι, καὶ φωνοῦντι νῦν διὰ τοῦτο
βραγχῶδες τῇ παραθέσει τοῦ ἐκείνῳ χρεμετίσαι παραπλησίως, καὶ τὴν τοῖς
ὁμογενέσιν ὀρνέοις ἀποβεβληκότι φωνήν. εἰ δὲ αὐτὸς ὁ μέγας τῷ νῦν βίῳ
καὶ περίβλεπτος, τοιαύτης λαχὼν διαθέσεως τὰ θεῖα μελετώσης ὡς ἀληθῶς
καὶ ὑψιπετῆ, ἐπινεύεις τοὺς μικροὺς ἡμᾶς πλησιάζειν σοι, καὶ οὐδέν σε τοῦτο
κατασμικρύνει, ἀποθεῖναι τὸ διατειχίζον κάλυμμα τῆς αἰδοῦς καταπείσομεν
ἑαυτούς. καὶ κἂν μὴ τὸ συνέδρους εἶναι καὶ συνομίλους τὸ καταλειπόμενον
χαρίζηται τοῦ παραπετάσματος, τὸ γοῦν φανερὸν τῆς ἐθίμου προσφωνήσεως
δώσει πάντως καὶ ὑποκλίσεως. καὶ χάρις τῇ προνοίᾳ τοῦ ἁγίου θεοῦ, ὅτι*

---

1 « Byzantion », ἔνθ' ἀν. 451.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*καὶ κατόπιν, τὸ τοῦ λόγου, ἑορτῆς ἥκουσι μερὶς ἡμῖν τῶν τῆς ἑορτῆς εὕρηται.*

### 96(94). *Ἰωαννικίῳ μαθητῇ ἐπιστατοῦντι.*

*Τοῖς ἡμετέροις πλήττειν σε λόγοις οἰόμενος μὴ πρὸς τὸ σκληρότερον μένειν καὶ ἄτεγκτον, τὸ εὐπιθὲς δὲ μᾶλλον ἀγαπῆσαι καὶ εὔεικτον, ἀντὶ φωνῆς ἐχρησάμην τῷ γράμματι. ὡς τὰ πολλὰ γὰρ τοῖς ἀπὸ φωνῆς ζώσης* f. 217v *προεμένοις ἐλέγχοις ἀποφράττεταί πως | τῶν ἐλεγχομένων ἡ ἀκοή, συνολισθαίνοντος τῇ γλώττῃ τοῦ νοῦ, καὶ οὔτε τὴν εἴσω τοῦ ἕρκους τῶν ὀδόντων κάθειρξιν ταύτῃ, οὐθ᾽ ἑαυτῷ τὴν προσοχὴν ἐπιτάττοντος. καὶ ἴσως τοῦτο οὐ θαυμαστόν· οἰδαίνει γὰρ τὸ προσφάτως ἐμπεσὸν τῇ ψυχῇ πάθος, καὶ τελείων ἐστὶ καταπαύειν τὸ ἀγριαῖνον εὐθύς, μὴ χρόνου πρότερον τὸ οἴδημα καταστείλαντος. ἐπεὶ οὖν τὸ ἑαυτοῦ κατέπραξεν ὁ θυμός, ὑγιείας δείξας οὐδὲν τῇ ἀνωδύνῳ τῶν ἡμετέρων λόγων τομῇ, ἐπιπάττειν σοι τὰ διὰ τῆς γραφῆς ἤπια συνείδομεν ἄκη, εἰσηγούμενοι προσσχεῖν εὐήκοον οὖς, κρατερὴν δ᾽ ἀποθέσθαι ἐνιπήν, τὴν « ὀργὴ ἀπόλλυσι καὶ φρονίμους » ἀπόφασιν, καὶ τὴν « οὐκ εὐσχήμων θυμώδης ἀνήρ ». τίνος; ὅτι τῆς σοφίας οὐκ ἀγνοεῖς, καὶ πάντως εἰ τὸ εὔσχημον ἀγαπᾷς, καὶ τοῖς ἐξεστηκόσιν οὐκ ἀνέχῃ τετάχθαι, ἀπέχου τῶν τῆς μοίρας ὄντων ἐκείνης, καὶ ὀργίζου μὲν — δέδοται γὰρ — μὴ ἁμάρτανε δὲ — ἀπηγόρευται γάρ. καὶ ὅτε σφάλλοντά τινα λάβοις, καὶ τὸν τρόπον ὅπως ἐρεύνα τοῦ σφάλματος, καὶ τὴν αἰτίαν |* f. 218 *εἰ οὐκ ἄλογος δι᾽ ἣν ἐξείργασται σκόπει, καὶ φανέρου τὸ ἀδίκημα κἂν μὴ τοῖς παιδευταῖς ἡμῖν, ἀλλὰ τῷ γε μαθητιῶντι, ἵνα μὴ τὴν παιδείαν λέγειν ἀνεξέλεγκτον ἔχων, λάθῃ τοῖς αὐτοῖς περιπίπτων. καὶ ἡ παιδεία δέ, ἐπεὶ καὶ παιδεία, μὴ κατὰ τοὺς ἐν τριόδοις ἀσχημονοῦντας γινέσθω, ἵνα μὴ ἀντὶ παιδείας ἄλλο τι ὄνομα σχῇ. καὶ εἰ μὴ τοὺς διδασκάλους εὐλαβῇ, τοὺς ἑταίρους ὑπείδου καὶ συνηκόους. καὶ οὐκ ἂν πρὸς ὁρμὴν ἀλόγιστον ἐξαχθείης. ἔστω σοι εἰ βούλει ταῦτα ἱκανὰ πρὸς παραδοχὴν χρηστῆς ὑποθήκης, τῆς ἐν ᾗ καθέδρας ἀβούλως ὑπεξέστης τὸν τόπον ἀπολαβόντι. εἰ δ᾽ ὅπερ καὶ τοῖς ἄλλοις, εἰ ἐμφρόνως οὐκ οἶδα, κέκριται καὶ σοὶ συνεψήφισται, πρᾶγμα οὐδέν. παραβεβλάφθαι γὰρ εὑρίσκομεν οὐδαμῶς Σκιπίωνα τὸν ὀνομαστόν, Ἰφικράτην τε καὶ Χαβρίαν, τὴν ἀποκήρυξιν τῶν πρὸς τὰς μάχας ἀγεννῶν ἐφευρόντας, καὶ τῶν γενναίων ἀποκεχωρικότας καὶ εὐσθενῶν.*

### 97(95). *Πέτρῳ ἀσηκρῆτις καὶ μαΐστορι*[1].

### 98(96). *Σοφίᾳ τῇ ἁγίᾳ δεσποίνῃ* (219r)[2].

---

[1] Τὸ αὐτὸ κείμενον μὲ ἐπιστολὴν ἀρ. 22, μὲ ἀσημάντους παραλλαγάς.

[2] « Byzantion », ἔνθ᾽ ἀν. 451 καὶ « Ἀθηνᾶ », ἔνθ᾽ ἀν. 196.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*99(97). Τῇ αὐτῇ*[1] (219v).

**100(98). Νικήτᾳ μοναχῷ.**

*Ὅπως διάκειταί τις προσβαλὼν ἀήθεσι τόποις καὶ ἀγνοουμένοις σχε-
δόν, καὶ οὐ τῇ ἀληθείᾳ μόνῃ τὸ λυπηρὸν ἔχουσιν, ἀλλὰ καὶ τῇ μετὰ ξένων
παντάπασι συνδιαγωγῇ τὸ ἀκηδιᾶν ἐπιτείνουσιν, οὐκ ἔχοντες ἀγνοεῖν, συντρι-
βόμεθα περὶ σοῦ, ἀλύειν εἰς ἅπαντά σε καὶ δυσφορεῖν, καὶ ζῆν οὐκ ἐθέλειν
οὐδ' ὁρᾶν ἡλίου τὸ φῶς ὑπολογιζόμενοι. καὶ τὴν συντριβὴν μὲν τοῦτο ποιεῖ·
f. 220 ἔχειν γὰρ τῶν ἀλγεινῶν τὴν ἐπίτασιν τὴν εἰς τοιού|τους τόπους μετασκήνω-
σιν πείρᾳ ἐμάθομεν. ἐπεισιὸν δὲ τῆς σῆς συνέσεως τὸ λελογισμένον, τοῦ
προσάντους σε μᾶλλον καὶ τραχέως βίου στέργειν ὑποβάλλον τὴν αἵρεσιν οὐ
τοῦ ἀνειμένου καὶ τρυφεροῦ, τὸ πολὺ διασκεδάζει τῆς συντριβῆς, μεταπεῖθον
τὸν ἐμὸν Νικήταν φρόνιμον ὄντα τὸ τῷ Δαυὶδ ᾀσθὲν ἐπιλέγειν ἐν ἑαυτῷ
συνεχῶς, « τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς », καὶ τὴν δ' « ἄλλοτε
δ' ἀλλοῖον τελέθειν » ὑποφωνοῦσαν παροιμίαν « καὶ χώρᾳ ἐπέσθαι », καὶ
μόνην ἀηδίαν οὐ τὸ ἀσυνήθει γῇ ἐπιχωριάζειν ἡγεῖσθαι, ἀλλὰ τὸ περὶ τοιού-
των ἐπιστυγνάζειν. ἐπεὶ δὲ μήτε παριούσης τῆς τῶν ἑταίρων καὶ συνήθων
μνήμης δυνατόν ἐστι μὴ οὐχὶ καταπίπτειν σε πρὸς ἀθυμίαν, καὶ τῷ τῆς
λύπης νέφει καλυπτόμενον τὴν ψυχὴν ἀπολέγεσθαι, μήτε τῷ ἀσταθεῖ τοῦ
λογισμοῦ μὴ μεταπίπτειν εἰς εὐθυμίαν, ὑπεξισταμένου τοῦ συγχέοντος
νέφους, ὡς ἐκ τούτου ἐκεῖ μὲν ἐπιγίνεσθαι τὸ ἀνιῶν, ὧδε δὲ ἀπογίνεσθαι,
f. 220v γνωρίζομέν σοι καὶ ἡμεῖς τὰ ἡμέτερα, ὡς οὐδέποτε ἡμέρας | ὅλης διαστή-
ματι παρετάθη τὸ εὐφραῖνον ἡμᾶς, ἄφνω τινὸς ἐπισυμβάντος καὶ εἰς
ἄλγημα περιστήσαντος τοῦτο. καὶ οὐκ ἐν ἡμῖν ἔστιν τοῦτο βλέπειν, οἷς αὐτὸ
τοῦτο συγκάμπτεσθαι τῇ χείρονι μοίρᾳ ἐξ αὐτῆς γεννήσεως ἐπιβέβλωσται,
ἀλλ' οὐδὲ τῶν ἐν υἱοῖς ἀνθρώπων εἶπέ τις παραμένειν αὐτῷ τὸ ἡδύ, μὴ καὶ
τοῦ ἀντικειμένου τούτῳ συμπαραθέοντος, καὶ ἰσχυροτέρου τῇ ἐπεισαγωγῇ
δεικνυμένου. καὶ ταῦτα θεῖναι συνείδομεν τῇ γραφῇ, ἵνα ὅτε σαυτὸν λογι-
σμοῖς τισιν ὁρᾷς σαλευόμενον, καὶ ὑπὸ τοῦ ἀλγοῦντος νικώμενον, ἀντιστᾶν
σπουδάζῃς τὰ καὶ ἄλλων ἢ καὶ πάντων συμπτώματα, καὶ οὕτως ἐρείδοις τὴν
τοιαύτην περιτροπήν. ὁ δὲ τὸ γράμμα σοι κομίζων χρηστὸς ἡμῖν ἄνθρω-
πος κατεφάνη καὶ ἐκ μόνης προσρήσεως. ἕξεις οὖν αὐτὸν ὡς εἰκάζω φίλον
σπουδαῖον.*

**101(99). Στεφάνῳ ἀσηκρῆτις.**

*Καὶ ῥάκους ἐπίκλημα ἱμάτιον ἀχρειοῖ καινόν, ὅτι μηδ' ἐπιβάλλεσθαι
f. 221 τὴν ἀρχὴν τούτῳ προσήκει, καὶ καλλίστου λόγου | πατέρα μειοῖ, εἰ διασπα-*

---

1841 ἔχει in ἔχειν corr. manus fortasse prima

---

[1] « Byzantion », ἔνθ' ἀν. 452 καὶ « Ἀθηνᾶ », ἔνθ' ἀν. 198.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*σμῷ τινι συνεξυφανθῇ τῷ λόγῳ νόθος ἐπιβολή. ἵν᾽ οὖν μὴ τῷ ὑπὸ θριπῶν βρωθέντι τῷ ἀπόρῳ τῆς εὐαρμόστου συνθήκης ἀπηχής τις καὶ ἀνάρμοστος ἀναπλήρωσις προσεξεργασθεῖσα τὸ ὅλον τοῦ λόγου σῶμα, σύμμετρα πάντα ἔχον, αἰσχύνοι, ὡς τοὺς Πελοπίδας ὁ ἐκ τοῦ ἐλέφαντος ὦμος, τοῦτο τῇ σῇ συνέσει ἀποσταλῆναι καλὸν ἐδοκίμασα, καὶ τὸ κάλλος τοῦ λόγου φυλάξουσαν τῇ οἰκείᾳ καὶ οὐκ ἐκφύλῳ προσαρμογῇ, καὶ ἡμῖν τῆς ψυχῆς τὴν εὐγένειαν ἐπιδείξουσαν τῇ τῆς εὐπειθείας ὑπακοῇ.*

### 102(100). Βάρδᾳ ἀντιγραφεῖ.

*Ὑπῆρξέ τις διαμάχη τοῦ νοῦ, καὶ τὸ μὴ οὐκ εὐπειθῆ σε εὑρεῖν τότε ἀσύνηθες, τότε πρὸς τὴν ὑπόκλισιν ἀπροφάσιστον σκοπεῖν ἔχοντες, εἰ μὴ πίστις ἦν προγεγοννῖα, συνομιλίᾳ μικρᾷ βεβαιοῦσα τὸ περὶ σοῦ. τὴν δὲ παρέσχε τῶν ἠθῶν τῶν σῶν ἡ κατάστασις, καὶ μακρᾶς συνουσίας χωρίς, εὔχρηστον εἶναι μαρτυρήσασα τοῖς φιλοῦσι. γίνεται γὰρ ὥσπερ ἐν σώμασί τισι*
f. 221v *ταχεῖα καὶ ἐπ᾽ ἀνθρώπων ἀκριβὴς | ὁποῖοί τινες εἶεν διάγνωσις, καὶ ἴδοις ἂν ἐπὶ πολλῶν τοὺς μὲν ἐκ ψιλῆς διακρινομένους ὁράσεως εἰ ἀγαθοὶ ἢ μὴ τοιοῦτοι, τοὺς δὲ καὶ χρονίᾳ συνδιαγωγῇ τὸ δυσδιάκριτον ἔχοντας, ὑποτρεφομένης λεληθυίας τινὸς διαθέσεως, καὶ πρὸς τὸ φανερὸν οὐ προερχομένης, καὶ διὰ τοῦτο μηδὲ γινωσκομένης. ἀλλ᾽ ἐπεὶ αὐτὸς τὸ χρηστὸν τοῦ ἤθους ὡς ὁ καθαρὸς τὸ δόκιμον χρυσὸς ἐκ βραχείας ἐγνώρισας προσβολῆς, γένου φίλος τοῖς ἐμοῖς δεξιός, καὶ μὴ τηνάλλως τὸν ἡμέτερον ἐξακριβῶσαι νοῦν ἀπελέγξαι. ἔχει δὲ ἡ παράκλησις μήτε δυσχερᾶναί σε, μήτε ἀποκνῆσαι, μήτε ὑπερθεῖναι τὴν πρὸς ὃ ἐπείγει διάσκεψιν. τὰ λοιπὰ δὲ τὸ τοῦ νόμου δίκαιον ἕξει τὴν ἰσχύν, συνηγοροῦν ἢ καταπαῦον· παραφθεῖραι γὰρ αὐτὸ τὴν ἡμετέραν φιλίαν τῶν ἀτοπωτάτων ἡγούμεθα.*

### 103(101). Ἐπιφανίῳ διακόνῳ.

*Οἶδα ὅτι πολλοί, ἐξ ὧν καὶ αὐτὸς ἔπαθον, τὰς σὰς κατέκλυσαν ἀκοάς,*
f. 222 *ἃ πολλάκις, εἰ καὶ | παρηνέχθην τι, ὑπὸ μάρτυρι λέγω θεῷ εἰς ἔννοιαν οὐκ ἦλθεν ἐμήν, ταῦτα διαφημίζοντες. ἔστω οὖν ἐκεῖνό σε το ἀλάθητον ὄμμα πληροφοροῦν, ὅτι οὐ μεταβέβλημαι, ἢ τῆς πρὸς σὲ καὶ τὸν μακάριόν σου θεῖον παρετράπην ἀγάπης κἂν πρὸς βραχύ, εἰ καὶ ἄνθρωποι, χωρίζειν μὲν ἀπὸ φίλων σπεύδοντες φίλους, ἑαυτοὺς δὲ μὴ ἑνοῦν, τὰ τὸν σύνδεσμον διασπῶντα ἐτύρευσαν. ἐμοὶ γοῦν ἀδιάλυτος καὶ ἔμεινε καὶ μενεῖ· καὶ εἰ σοὶ τῷ φιλτάτῳ δοκεῖ, φράξον κἂν νῦν τὰ ὦτα τοῖς οὐδὲν ὑγιὲς λέγουσι, καὶ τῶν ἀκουσθέντων ἀπόκλυσαι τὸ πικρόν. καὶ εἰ μὲν τινὰ βλέπεις ὁδὸν παρρησιασθῆναι τὴν τοῦ διδασκάλου ἀγάπην, ἡ περὶ τοῦτο καταβληθήτω σπουδή· εἰ δὲ τὸν σῖτον ἔτι ἡ τῶν ζιζανίων πνίγει ὑποσπορά, ἐμφωλευέτω σου τῇ καρδίᾳ καὶ μόνῳ γινωσκέτω θεῷ. καὶ ἡμῖν τοῦτο ἅλις. ὃ δὲ ἀπεστείλαμεν, μνημεῖον ἔχε ἡμῶν. καὶ μένε μὲν ἀγαπῶν — ἐξηθωώσαμεν γὰρ ἑαυτοὺς —*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

f. 222v *φεῦγε δὲ τὴν ἡμετέραν εὐχήν, ὑπευθύνους ὄν|τας οὐκ ἐξαριθμουμένοις ὀφλήμασιν.*

***104(102). Παύλῳ μαθητῇ ἔξω διατρίβοντι.***

*Τὰ περὶ σοῦ ταῖς ἀκοαῖς ἐμβαλλόμενα τὸ ἐναποτεθὲν βάρος ἐπελαφρύνει, τοιαῦτα ὄντα, ἃ καὶ παρ᾽ οὗ διευθύνεται ὁ ἑκάστου σκοπὸς ἐξῃτοῦμεν, καὶ ἃ κατὰ σχολὴν ὁ νοῦς ἐκμετρῶν τῇ ψυχῇ ἐδίδου φαντάζεσθαι, τὸ οἷον εἶναι τὸν ἡμέτερον Παῦλον διαγνωσθῆναι, τὸ κρᾶσιν ἐνηλλαγμένην ἀέρων σπείσασθαι φύσει ἐντυχοῦσαν εὐπολεμήτῳ, τὸ συνασπίζοντας τοὺς ἀσυνήθεις εὑρεῖν, τὸ μὴ προσχωρῆσαι βάσκανον ὀφθαλμόν. ταῦτα ἕως ὁ νοῦς ἠρεμῶν ἐξηρίθμει, ταῖς ἀκοαῖς ἡ φήμη ἐναπετίθει, καὶ ἡ γραφὴ ὑμῶν ἡ αὐτόχειρος ἐπεσφράγιζεν. συνᾷδον μέντοι ἑωρῶμεν τῇ φήμῃ τὸ γράμμα ἓν ἐλλείπειν τὸ κἀκεῖνα ποιοῦν ἀτελῆ, οὗ αὐτὸς μὲν ἴσως ὀλίγωρος ὢν ἀπόντος ἐρεῖς τὴν ἐν ἐκείνοις ὄνησιν οὐχ ὁρᾶν, ἐγὼ δὲ ἐμποδὼν μὲν ὄντος ἐκείνου οὐκ ἂν εἴποιμι ὠφελεῖν. πρὸς δὲ ταῦτα συγκρίνων, ἧττον ἐκεῖνο παρὰ πολὺ τούτων* f. 223 *ἀποφανῶ. εὑρίσκω γὰρ | πολλαχόθεν περισκοπῶν τούτων κρατούντων κἀκεῖνο δείκνυσθαι ἐνεργές, οὐκ ὄντων δὲ μηδὲν τὴν ἐκείνου ἀποπεράτωσιν ἐνεργεῖν. ἔστω οὖν σοι διὰ σπουδῆς τὸ παρὰ πάντων καὶ φιλεῖσθαι καὶ συγκροτεῖσθαι, καὶ μηδὲν εἶναι τὸ συγκαλύπτον σου τὸ συνετόν. καὶ εἰ μὲν ὁ μέχρι νῦν διακωλύων ὠσθείη φραγμός, εὐπόρευτος ἔσται πάντως καὶ ἡ διάβασις· εἰ δὲ διαμένει ἀποτειχίζων, ἐκφεύξῃ τέως κενοσπουδίας ἐπίκλημα.*

***105(103). Τῷ αὐτῷ.***

*Τὸ διὰ μακροῦ γράφειν ἡμῖν κεκώλυται, τῆς διανοίας τίκτειν οὐ δυναμένης τῷ παρεμποδισμῷ τῶν θορυβούντων ταύτην ὀχλήσεων, αἳ ὅσαι εἰσὶ πρὸς εἰδότα περιττὸν λέγεσθαι. σοὶ δ᾽ οὖν καὶ ἡ μικρὰ ἀρκέσει γραφή, κἂν* f. 223v *ταύτῃ τῆς πρὸς σὲ διαθέσεως δηλουμέ|νης ἡμῶν. οἶδας, ὦ βέλτιστε, μήποτε βάρος ἡγεῖσθαι ἡμᾶς τὸ συνεχεῖς τὰς περὶ σοῦ φήμας παρὰ τοῖς καὶ μικρὸν εὐδαιμονίας ἔχουσι μέρος ποιεῖσθαι. ὃ γὰρ ἐλαττοῖ μὲν τῶν ἡμετέρων οὐδέν, αὔξει δὲ τοὺς δι᾽ οὓς αἱ ἐπ᾽ ἀγαθῷ φῆμαι ὥσπερ τινὲς ἐγγίνονται παρενθῆκαι, τί τὸ βαρύνον μὴ οὐχὶ τοῦτο ἔχειν σπουδήν; ἐγίνετο μὲν οὖν παρόντος, τῆς κατ᾽ ὀφθαλμοὺς θέας σου πρὸς τοῦτο κινούσης, ἐπεὶ καὶ τοῖς ἐπισυμβαίνουσι συμπάσχειν συνώθει. γίνεται δὲ καὶ ἀπόντος, ἀπομαρανθείσης οὐδέπω τῆς μνήμης σου, ἐκκαιούσης δὲ τὸν προσαναφθέντα πλέον πυρσόν, ὅτι καὶ μὴ συνεῖναι τῷ ἠγαπημένῳ λυπεῖ. ἀνέγνωσται δὲ καὶ ἡμῖν* f. 224 *καὶ τοῖς ὑπὸ τὴν διατριβὴν ἐκκρίτοις τὸ γράμμα σου, | καὶ ἔγνωσται καὶ τούτου ὅσον εἰς κάλλος ἡ συνθήκη ἐξείργασται. ὑγίαινε δέ μοι μόνον αὐτός, καὶ θεὸν αἴτει, τὸν τῆς ἡμετέρας οἰκονόμον ζωῆς, καὶ ἀπόπλουν παρασχεῖν καὶ εὐπλοίας καιρόν. ἔστω δέ σοι μέριμνα περὶ τῆς πρὸς τοὺς φιλοῦντας ὑπομνήσεως μηδεμία.*

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

**106(104). Εὐθυμίῳ ἐπισκόπῳ.**

*Ἐναπετέθη ταῖς ἡμετέραις χερσὶ τὸ γράμμα τῆς ὑμῶν ἱερότητος, τό τε συναποσταλὲν τῷ γράμματι δῶρον, ὅπερ ἄλλος ἴσως ὠνόμασεν εἴσπραξιν, κατευστοχεῖν τῆς γνώμης τοῦ δεχομένου τοῦτο ἀδυνατῶν. πλείω μὲν οὖν τὴν ἡδονὴν εὕρομεν ἄν, εἰ ἀπέβη ὅπερ ἡ ἐλπὶς ὑπετίθει, αὐτόν σε ἀποδοῦναι ἡμῖν χρόνῳ διαβεβαιοῦσα ῥητῷ τὸν καὶ τῇ παρουσίᾳ καὶ τῇ διὰ λόγων* f. 224v *καταθέλξοντα ὁμιλίᾳ. εὕρομεν δὲ καὶ οὕτως, τῆς αὐτῆς | ὑμῶν γραφῆς ἐπελθόντες τὴν δύναμιν. εἶχε δὲ καὶ ἡ ζῶσα φωνὴ τοῦ τὴν ἐπιστολὴν ἡμῖν ἐγχειρίζοντος ὑποτείνειν τὰ θέλγητρα τῆς πρώτης ἐλπίδος, κἂν εἰς μακρὸν ἀπεταμιεύετο ταῦτα καιρόν. τὰ δὲ τοῦ γράμματος καὶ πρὸ τοῦ γράμματος ποιεῖν εἰς ὅσον ἡ δύναμις εἶχεν οὐκ ἀπωκνήσαμεν, τῷ τε πυρσῷ τῆς σῆς φιλίας ἔτι προσαναπτόμενοι, τῷ τε κέντρῳ τοῦ κυροῦ Θεοφάνους τοῦ ἀγαθοῦ φίλου ὅσαι ὧραι πληττόμενοι, ὃς οἷος περὶ ταῦτα ἀκαταγώνιστος οὐκ ἀγνοεῖς. πλὴν πρὸς ἐπιθῆξαν καὶ νῦν τὸ γράμμα ἐπιτενεῖ τὴν εἰς ταῦτα σπουδήν. καὶ ὅσον εἰς ἡμᾶς ἧκεν οὐκ ἐνδεὴς ἔσται τῆς πρὸς τὴν μαθητείαν ἐπιδόσεως ὁ ἀδελφιδοῦς, λείπεται δὲ ὑπὲρ αὐτοῦ, καὶ ὑπὲρ τῆς κατ᾽ ὄψιν ὁμιλίας τῶν φίλων, τὴν σὴν εὔχεθαι λογιότητα. ᾠκειωμένον οὖν σοι ὡς ἱερατεύειν λαχόντι θεῷ, τοῦτο μὴ κατολιγώρει ποιεῖν. |*

f. 225 **107(105). Τῷ αὐτῷ.**

*Ἥγημαι τὸ σταλὲν μέγα, ἀναφέρων τὸ πᾶν εἰς τὴν μείζω τούτου ἀγάπην σου, ἥτις ἐνεργὴς ἑωρᾶτο, ὅτε τις ἀφορμὴ οὐκ ἐμεσολάβει φιλίας. καὶ γὰρ εἰ μή τι ἄλλο παρ᾽ ἐμοὶ ἀγαθὸν ὁρᾶται, ἐπεὶ χρηστῶν εἰμι ἔργων ἀλλότριος, ἡ τῶν φίλων γοῦν μοι περισώζεται μνήμη, καὶ ἡ ἐκείνων εἰς ἐμὲ οὐκ ἀπόλλυται χάρις, ἀλλὰ διαμένει καὶ ζῇ. διὰ τοῦτο καὶ ἡ εἰς τὸν ἀδελφιδοῦν ἐπιμέλεια προστεθήσεται, ὅτι μὴ τῆς σῆς ἐγὼ ἐπιλήσμων γεγένημαι ἢ γενήσομαί ποτε χάριτος. πλὴν ἔστω σοι δῆλον καὶ τοῦτο, ἵνα μὴ τὸ πᾶν τῆς ἐκείνου πρὸς τὰ σπουδαζόμενα ἐπιδόσεως οἰκεῖον κρίνω, ὅτι οὔτε φαύλη τις περὶ αὐτόν ἐστι δόξα, ὅτι οὔτε οἵαν ἐπ᾽ ὄντι καὶ σχεδὸν ἀνεπισκοπήτῳ ῥαθυμίας περιπίπτει ἐγκλήματι, ἀλλὰ καὶ τρόποις διαπρέπει χρηστοῖς, καὶ τὸ ἐμφιλοχωρεῖν ἐπι... μᾶλλον τοῖς μαθήμασι τούτῳ σπουδάζεται. |*

f. 225v **108(106). Εὐθυμίῳ πρωτοασηκρῆτις.**

*Ἦν μὲν καταδεὲς τοσούτῳ γράφειν τοσοῦτον, μεγάλῳ μικρόν. αἰδοῦς γοῦν ἄξιον, καὶ εἰ μὴ καταδεές. ἀπώθει δὲ τὰ ἀμφότερα καὶ πρὸς ἐκεῖνο συνώθει τὸ σοὶ κατὰ ψυχὴν περικείμενον μέγεθος, πεῖθον οἷς τοῦτο σπουδάζεται τούτοις ἡγεῖσθαι τὰ κατὰ σῶμα μικρά. καὶ ἐναργὴς ἦν ἡ περὶ τούτου πειθώ, ἔργοις οἷς προσεμαρτύρουν πολλοί, ἀλλ᾽ οὐ λογισμοῖς δεικνυμένη.*

---

1974 *ἐπι...* non legitur

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*καὶ ὅτι οὐ κολακικὴ ἡ γραφή, τὸν ταύτην διακομίζοντα ἕνα προφαίνω τῶν
κηρυττόντων ἐκεῖνα, ὃς ὅτι μὴ καὶ τὰ ἄψυχα φωνὴν ἀφιᾶσιν ἀσχάλλει.
τούτῳ οἷς εἰπὼν οἷς παθὼν ἐκήλει πεισθείς, τοιοῦτον εἶδος ἐποιησάμην
γραφῆς, ῥήμασιν οὐχ οἷς τὰ μὴ συμπαραμένοντά σοι δηλοῦται γνωρίσματα,
ἀλλ' οἷς ἐνορῶνται χαρακτῆρες ἀθάνατοι ταύτην συνθείς. ἀρκεῖ γὰρ δσημέ-
f. 226 ραι πάντως ἐκεῖνα, παρὰ τῶν ἢ νόμῳ ὑπο|ταγῆς ἢ δι' εὔροιαν καιροῦ προσ-
φωνούμενα. προσκείσθω δὲ τῇ γραφῇ αἴτησις καὶ αὕτη τῷ ἀποπληροῦντι
οἰκεία, πρὸς ἣν εἰ κατανεῦσαι δικαιοῖς ὅλος ὢν τοῦ καλοῦ, ἡμερῶν ἑβδο-
μάδι μιᾷ τὰς τοῦ Συνεσίου ἡμῖν ἐγχειρίσαις ἐπιστολάς.*

**199(107). *Σάβᾳ μαθητῇ τοῖς οἰκείοις ἐγχρονίζοντι.***

*Τὰ λυποῦντά με δύο ἦν, ὅτι τε συνειδὼς ἑαυτῷ εὐφυῶς ἔχοντι πρὸς
τὴν μάθησιν, πρὸς ἕτερα τὴν οἰκείαν διάνοιαν ἔτρεψας, ἀντὶ τοῦ λόγους
θηρᾶν ἴχνη μεταδιώκων κυνῶν καὶ πτῶκας βάλλων καὶ κατατρέχων ἐλά-
φων, ὅτι τε λόγος οὐδείς σοι τοῦ διδασκάλου προσῆν, ταχὺ πρὸς τοὺς τῆς
λήθης μεταπεμψαμένῳ τόπους τοὺς καταβληθέντας πόνους ἐκείνῳ. καὶ ταῦτα
μὲν τέως ἦν συγγνωστά, μέχρις ἡ ἀτέλεια τῆς ἡλικίας τὰ κρείττω προσεπι-
νοεῖν οὐκ ἐδίδου· ἀσύγγνωστα δὲ νῦν κατεφαίνετο, ὅτε φῆμαι τὰς ἡμετέρας
ἐνήχουν ἀκοάς, ἐν ἐκείνῃ λοιπὸν εἶναι τῇ ἡλικίᾳ, ᾗ τοῦ καλοῦ ἐξακριβάζεται
f. 226v ἡ διάκρισις. ἀλλὰ παρήρει | τῶν λυπούντων τὸ ἓν ἡ νῦν ἀγγελθεῖσά μοι
περὶ σοῦ φήμη. ἡ δὲ ἦν βίβλοις ἐγκεῖσθαί σε, καὶ πάντα σε, τὸ δὴ λεγό-
μενον, πέτρον σείειν καὶ κάλων, ἵνα τι τῶν σπουδῆς ἀξίων ἐξευρεθείη. θά-
τερον δὲ μένει συντρῖβον ἔτι καὶ πρὸς ἀθυμίαν κινοῦν, τὸ καὶ διατριβῆς σε
καὶ παιδευτοῦ ἐκλελῆσθαι καὶ συνηκόων. ἀλλά μοι, γλυκύτατε, ὑγίαινε· καὶ
εἴ σοι παραμένει τις σπινθὴρ ἡμέτερος, ὥς τι μῶλυ τὴν ὑποθήκην ταύτην
λαβών, ἔκκλινον τὸν κυκεῶνα τῆς Κίρκης, τῆς ἐπιτριβούσης, φημί, σὲ
φροντίδος, καὶ κηρῷ τῶν ὤτων ὁ πόρος ἀποφραχθείη, μέλη Σειρήνων οὐκ
εἰσδεχόμενος. εἰ δὲ καὶ Σκύλλα τις βρῶμα ἴδιον ὡς ἑταίρους τοὺς οὓς ἐζη-
μίωσαι χρόνους πεποίηκε, βέλτιον μετὰ τῶν ὑπολοίπων σωθῆναι, ἀλλὰ μὴ
μετ' ἐκείνων καταποθῆναι. ἔχεις καὶ αὐτὸς ἐπιβοήσασθαι Κράταιϊν τὴν
σὴν φρόνησιν, ἥτις οὐκ ἐάσει ματαίοις περιστροβούμενον τὴν τοσαύτην εὐ-
f. 227 φυΐαν ἀμβλεῖαν μεῖναι καὶ ἀλιπῆ. ἵνα δέ σοι προσπαίξω τι καὶ τῶν | με-
τρίων, εἰ μὴ μετὰ τῆς ἄλλης μητρῴας περιουσίας καὶ ἡ ταύτης φειδωλία σοι
προσεκτήθη, ἣν εἶπον λεκάνην ἐξώνησαι, μικρὰ πάντα τὰ εἰς διδασκάλους
γινόμενα λογιζόμενος. εἴη δὲ πρὸ πάντων σε κατασπάσασθαι· καὶ τοῦτο
πρὸ τῶν ἄλλων ἀρκέσει μοι.*

**110(108). *Νικηφόρῳ κουβουκλεισίῳ καὶ βασιλικῷ κληρικῷ.***

*Δέδωκας ἡμῖν, θεοφιλέστατε, ἐν τῇ γινομένῃ πρὸς τὸν ἀδελφιδοῦν ἐπι-
μελείᾳ περισσοτέραν σπουδῆς ἀφορμήν, ἐμφανῆ καταστήσας τὴν ἀγαθήν σου*



Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*προαίρεσιν, οὐχ ὅτι πρὸ τοῦ ταύτην ἀνακαλυφθῆναι τῆς δεούσης οὐκ ἐτύγχανεν ἀγωγῆς — ἐτύγχανε γάρ, ὑπὸ μάρτυρι θεῷ λέγομεν, ἐναύλου τῆς κατακρίσεως τῆς παρὰ σοῦ γενομένης ἡμῖν οὔσης — ἀλλ᾽ ὅτι φθάσαι διέγνωκας τὴν ἡμετέραν σπουδήν, πρὸ τοῦ πειραθῆναι ταύτης οἷος αὐτὸς εἶ πρὸς τὸ βεβαιοῦν τοὺς λόγους δείξας ἐξ ἔργων. ἐχάρημεν οὖν, οὐκ ἐπὶ τῇ τοῦ δώρου μόνον φιλοτιμίᾳ, ἀλλὰ καὶ ἐπὶ τῇ τῆς τούτου ταχυτῆτι ἀποστολῆς. αὕτη γὰρ* f. 227v *| ἐφανέρου πλέον τὸ τῆς προθέσεως εὔγνωμον· οὐ τοσοῦτον γὰρ ὅτε τῶν ὀφειλόντων τυγχάνει τις ἥδεται, ὅσον ὅτε τὸν ὀφείλοντα εὐγνώμονα βλέπει καὶ πρόθυμον. καὶ τὰ σὰ μὲν οὕτως, ἄξια πάντως τῆς θεοφιλοῦς γνώμης σου. τὰ δὲ ἡμέτερα ποῖα; ἐν οἷς δεῖ τὸν παιδευόμενον διεκβιβάζεσθαι ὁ ἀδελφιδοῦς ἀναστρέφεται· δὶς τῆς ἑβδομάδος ἡ τῶν αὐτῷ ἐρωτωμένων κατενώπιον ἡμῶν ἀνακρίνεται εἴδησις· ἀπὸ στόματος αὐτῷ σχεδὸν ἀπαρεμποδίστως τὸ κείμενον προφέρεται τῆς γραμματικῆς· τῶν ἐπιμερισμῶν ὁ τρίτος ἤρηται τούτῳ ψαλμός· ἡ τρίτη τῶν βαρυτόνων αὐτῷ κλίνεται συζυγία. ἃ διερωτώμενος ἐκμανθάνει, τῇ πρὸς ἑτέρους παραδόσει παρακατέχειν διδάσκεται. ἡ ὑπὲρ αὐτοῦ σοι συνεχὴς γινέσθω εὐχή, καὶ σὺν θεῷ φάναι, εἴ τι τῆς τοῦ παιδὸς συνίημι φύσεως, ἡ ἐπ᾽ αὐτῷ ἐλπὶς μενεῖ ἀκαταίσχυντος. γένοιτο δὲ καὶ τῆς ἐν ὄψει ὁμιλίας ἀπολαῦσαι ἡμᾶς, καὶ τῆς εἰς ἀλλήλους ἀγάπης μὴ ἐκπεσεῖν. |*

f. 228 ***111(109). Ἰωάννῃ ἀσηκρῆτις.***

*Νῦν μᾶλλον ἢ πρότερον, ὁ κατὰ πάντα τὸ καλὸν προτιμῶν, γνωσθήτω σου τὸ εὔγνωμον καὶ χρηστὸν εἰς φίλον ἀνθρωπίναις δυστυχίαις ὀφθέντα περιπετῆ. πλείω δὲ λέγειν τὸ ἐπεῖγον οὐδέν, οἴκοθεν σπουδάζοντά σε τὸ συνοῖσον δεδυστυχηκότι φίλῳ προσεξευρεῖν.*

***112(120). Θεοδώρῳ μυστικῷ*** [1].

***113(121). Θεοδώρῳ πρωτοσπαθαρίῳ.***

*Πρόχειροι μὲν αἱ κατανεύσεις, ἑτοιμότεραι δὲ αἱ τούτων ἐκβάσεις, καὶ αἱ τῶν ὑποθέσεων ἀρχαὶ εὑρέσεις σαί, καὶ αἱ ἀποπληρώσεις σπουδαὶ σαί, καὶ συγχωρεῖς οὐδαμῶς* f. 228v *| ἑτέρῳ τοῦ πραττομένου σοι μερίτην εἶναι καλοῦ, καὶ οὔτε τὴν ἐξευρισκομένην ἀφορμὴν ὁ ὑποβάλλων ὁρᾶται, οὔτε τὴν ἀποπεράτωσιν ταύτης ἐπισπεύδων γινώσκεται, ἀλλὰ σὺ καὶ εὑρετής, σὺ καὶ ἐκπληρωτής, σὺ καὶ πρέσβυς, σὺ καὶ κύριος τοῦ πρεσβευομένου, κινούσης μὲν τῆς ἀνυπερβλήτου προαιρέσεως, ἐξάγοντος δὲ πρὸς ἔργα τοῦ ἀγαθοῦ*

---

2024 Post *αὕτη* spatium duarum vel trium litterarum ubi fortasse *γὰρ* legi potest

---

[1] « Byzantion », ἔνθ᾽ ἀν. 452.



Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*συνειδότος. ἄρχων οὖν διασκέψεων τοιούτων ἔσο διὰ παντός, καὶ τὰ πρεσβεῖα φέρε πάντων μόνος αὐτός. καὶ ὀλίγους μέν, εἴ γε καὶ ὀλίγους, ἕξεις τοὺς εἰς τοῦτο ζηλοῦντας, οὐδένα δὲ τὸν παρευδοκιμοῦντα. ἐγὼ δὲ χάριν ἔχω τῷ θεῷ ὅτι με καὶ τοῦ λέγειν στερεῖς, ἄφωνον τῇ ὑπερβολῇ τῶν χαρίτων ποιῶν.*

### *114(122). Θεοδώρῳ κουβουκλεισίῳ καὶ χαρτουλαρίῳ.*

*Εὔφρανεν ἡμᾶς οὐχ ἡ δόσις μόνον δαψιλὴς οὖσα καὶ ἱκανὴ δηλῶσαι προαίρεσιν ἀγαθήν, ἀλλὰ καὶ ἡ πρὸς ἐκείνην πρότερον ἀμέσως κλίνασα νεῦσις. τὸ μὲν γὰρ τὴν τοῦ διδόντος πρόσθεσιν πρὸς τὰ βελτίω δείκνυσιν αὐτο-* f. 229 *κίνητον, | τὰ δὲ ἀποφαίνει συμμερίτας καὶ τοὺς πρὸς τοῦτο συνωθοῦντας τοῦ ἀγαθοῦ. ἔχομεν δὲ καὶ ἄλλοθεν τῆς εὐφροσύνης ταύτης ἐξευρεῖν ὑποθέσεις, ὅτι τε καὶ τῷ νῦν βίῳ περίεισιν ἀγαθοί, καὶ οὐ πάντη τῶν καλῶν ἄμοιρος, κἂν ἡ « οἱ κακοὶ πλείονες » ἐπικρατοῦσα τοῦ πάλαι ταύτην ἐξενεγκόντος ἀπόφασις καὶ τοὺς μὴ τοιούτους ἐκλογίζεσθαι τινὰς ὡς τοιούτους ποιεῖ, ὅτι τε τῆς διαθέσεως παραμένουσιν, ἧς πρὸς ἡμᾶς εἶχες, σπινθῆρες, καὶ οὔτε χρόνος τούτους οὔτε διάζευξις ἐνεπέσβεσεν, ὅτι τε ὁ σκάζων ἡμῶν ἐπηνώρθωται λογισμός, κενὴν γεγονέναι τὴν τότε συνήθειαν ὑποβάλλων. Ἀντισθένει μὲν οὖν ἡ τοῦ τὴν ὄψιν συντρίψαντος τῷ μετώπῳ ἐγράφετο κλῆσις, ὡς ἂν ὁ ὑβριστὴς ὅστις γνωρίζοιτο καὶ σιγῶντος ἐκείνου· ἡμῶν δέ, ἵνα σου τὸ φιλότιμον ἀνακηρυχθῇ, λαλήσει μὲν ὅτε καὶ οἷς ἐξὸν καὶ τὸ φωνοῦν* f. 229v *ὄργανον, ὁ δ᾽ ἐν τῇ ψυχῇ λόγος οὐκ ἀποκάμοι ποτὲ περιστρέφων τὸ | τῆς φιλοτιμίας εἶδος ἐν ἑαυτῷ. σὺ δέ, χρηστὲ διὰ πάντα καὶ τίμιε, μὴ περὶ ἡμᾶς τοὺς ἀνάγραπτον ἕξοντας τὴν χάριν ἔσο τοιοῦτος, ἀλλὰ καὶ περὶ ἄλλους, οὓς πολλάκις ἢ γνώμη ὀλισθηρὰ ἢ φαῦλος τρόπος διατίθησιν ἀχαρίστους. ἀπομιμεῖσθαι γάρ σοὶ τὸ θεῖον δίδωσιν ὁ καιρός, ὃ τῆς εὐποιίας ἐπίσης νέμει τὸ μέτρον ἀγαθοῖς καὶ κακοῖς.*

### *115(123). Συμεὼν ἀσηκρῆτις.*

*Ἠτιώμην τὸν χρόνον, ὅτι μὴ πρὸ πολλοῦ μοι τοιοῦτον φίλον ἐδείκνυεν, ἡνίκα τὸ καθαρὸν ὡς ἀληθῶς καὶ ἀνόθευτον ἔγνωσται τῆς ἀγάπης σου. ἔγνωσται δὲ οὐ μακρᾷ συνουσίᾳ, ἣ καὶ διακρίνειν οἶδε ταῦτα καὶ διορίζειν, ἀλλ᾽ ἔργοις, οἷς ῥιζοῦται μᾶλλον ἐκεῖνα καὶ μένουσι πάγια. ἀπέλυσα δὲ τῆς τοιαύτης αὐτὸν οὐδὲ νῦν αἰτίας, καὶ μετὰ τὸ προσομολογεῖν τοιαύτην χάριν αὐτῷ, ὅτι μὴ συσκηνοῖ με τοιούτῳ καλῷ, ἢ καί, ὅπερ μέρος τοῖς φιλοῦσι παραψυχῆς, τούτῳ με ὅσαι ὧραι παρασκενάζει καθομιλεῖν. ἐντε-* f. 230 *λὴς | γὰρ ἂν οὕτως ἡ χάρις αὐτῷ ἐλελόγιστο. νῦν δὲ τῷ δίψει με τῆς σῆς ἐκτηκόμενον ἀγάπης πόρρω τοῦ τῶν σῶν ἀπορρέοντος νάματος χειλέων ποιεῖ. καὶ ὃν μὲν οἱ μῦθοι φασὶ Τάνταλον ἑστιᾷ τὰ δρώμενα, συγχωροῦσι*

---

2059 Nihil nisi *π...θεσιν* legi potest

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

*γὰρ οἱ λόγοι τὴν ὄψιν τοῖς ἡδίστοις ἐπεντρυφᾶν, εἰ καὶ τὴν ἁφὴν ἀποκωλύουσι δρᾶν ὃ ἐκείνης ἔργον ὑπάρχει· ἐμὲ δὲ καὶ τῆς ἐκ τούτου παραμυθίας ὁ νῦν ἀποστερεῖ βάσκανος χρόνος. ἀλλ᾽ οὗτος μὲν ποιείτω τὸ ἑαυτοῦ· ἀπεκλήρωσε γὰρ αὐτῷ ἡ ἐμὴ μοχθηρία ἐπινοεῖσθαι τοιαῦτα καὶ δύνασθαι· τὴν γοῦν ἐν τῇ ψυχῇ διάθεσιν, ἥτις ἑνοῖ καὶ συσφίγγει τὸν πόθον καὶ ὁρᾶν ποιεῖ καὶ συνομιλεῖν, οὐ χρόνος οὐδὲ τοῦ χρόνου ἀνώμαλον ἀφαιρήσεται.*

### **116(124). Θεοδώρῳ πρωτονοταρίῳ.**

*Ἢ μικροψυχίας καθυποβάλλεις, καὶ διὰ τοῦτο καὶ ἀνοίας, γραφῇ, ἢ τέκνα καὶ φίλους ἔχειν οἷς ᾕρησαι ποιεῖν ἀπωθῇ, καὶ τὴν ἡμῶν ἐπὶ τοῦτο καύχησιν ὑποτέμνεις. τοίνυν ἢ μὴ πέραινε τὸ ἐννόημα, καὶ ἀποτριψόμεθα τὸ ἐπίκλημα, ἢ τὸ δόξαν ἀμεταθέτως ἔχον ἐκπλήρου, καὶ τῆς παρρησίας ἡμεῖς ἐκστησόμεθα.|*

f. 230v **117(125). Στεφάνῳ μαθητῇ.**

*Τί καταρρητορεύειν ἡμῶν ἐφρυάξω, ἀντιθέσεις πλάττων καὶ τούτο λύσεις ἐκείναις οὐκ ἐξευρίσκων εὐλόγους, καὶ αἰτίας ἀνυπόπτους ἀπαριθμῶν, οὐδ᾽ εἰς ἔννοιαν ἐλθούσας ἐμήν; ἑνὶ μὲν οὖν ἤρκει λόγῳ δηλῶσαι τὸ πᾶν, ὑποψιῶν ἀπηλλαγμένῳ τοιούτων. ἥλως δὲ μακρὰν ἀποτεινάμενος τὴν γραφήν, τῷ τοιαύταις συμπεσεῖν περιαγωγαῖς κατασοφισθεὶς ἢ κατασοφισάμενος. ἔχου γοῦν εἴ τι κἂν ποσῶς ἐμοὶ πείθῃ, τῆς ὑποδειχθείσης καὶ ὑποδειχθησομένης μαθήσεως. καὶ τῶν ἐλπίδων εἴκων ἀλλὰ μὴ ἀποπηδῶν οὐ διαψευσθήσῃ. καὶ ὡς διδασκάλοις ἡμῖν, μὴ ὡς πώλοις χρῶ, οὐκ ἐπικάμπτων, καμπτόμενος δέ, καὶ μαστιγούμενος, ἀλλ᾽ οὐ μαστιγῶν. καὶ τοιοῦτος ὤν, τὸ συνεῖρον ἕξεις τὸ κεχηνός. ἐγὼ δὲ τῶν ἐθίμων τι διαπῖπτον βλέπων οὐδὲν ἡσθήσομαι, καὶ ὡς ἐπὶ τέκνοις φιλοπάτορσι τὰ φιλόπαιδος ἐνδείξομαι πατρός. εἰ τῷ μικρῷ δὲ παροράματι οὐχ ὡς ἐπὶ παισὶν ἀναπαύσομαι, ὑποκύπτοντας φιλίως τοῖς φθάσασιν ὑμᾶς οὐ λαβών, ἀνιάσομαι μὲν* | f. 231 *κἂν ἀποχρῶν ἔσχον τὸ ἀνιᾶσαν, δεικνύειν δὲ τὰ πατρὸς οὐ λήξω, ἕως εἴσω τῶν ἐμῶν ὁρῶ ὑμᾶς ἀγκαλῶν, καταλείπων ὑμῖν τὰ τοῖς ἀπειθέσι παισὶ σκοπεῖν συναντήματα.*

### **118(126). Θεοδώρῳ μυστικῷ[1].**

### **119(127). Θεοδώρῳ κουβουκλεισίῳ καὶ βασιλικῷ κληρικῷ.**

*Ἐξηρτῆσθαι δοκῶ ἐν σοὶ καὶ βλεπομένῳ μοι καὶ μὴ τὰ ἐμά. διὸ καὶ ὁρῶν, περὶ τούτων συνομιλῶ· καὶ μὴ ἐντυγχάνων, ἀναφέρειν κρίνω εἰς σὲ*

2113 *ἡμᾶς* cod.

[1] « Byzantion », ἔνθ᾽ ἀν. 452.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188

ἐν ἄλλοις ταῦτα σιγῶν. ἔχεις οὖν τὸ σταλέν· ἐπίδος οἷς δεῖ, καὶ ὕπόθες ἃ δεῖ, καὶ ὤθει περὶ ὧν δεῖ, καὶ τύχοις καὶ ὧν δεῖ καὶ ὅτε δεῖ. |

f. 231v **120(128). Θεοφίλῳ ἀσηκρῆτις.**

Χρεία κατήπειξεν ἀναγκαία τὸ βιβλίον ζητεῖν. καὶ ὁ τοῦτο κατέχων σὺ φίλος, καὶ ὁ νῦν αὐτὸ λαβεῖν ἀξιῶν τῶν ἀγαπωμένων. εὐφρανεῖς οὖν ἀποδιδούς, λυπήσεις δὲ μὴ ἀποδιδούς.

**121(129). Θεοδώρῳ πρωτοσπαθαρίῳ καὶ κριτῇ.**

Ἔχει τι διδόναι καὶ τῇ φιλίᾳ τὸ δίκαιον, ὅποτε μὴ παραποιοῖτο, φανερὰν δὲ παραδεικνύει τῆς ἀκριβοῦς ἐξετάσεως τὴν ἀθέτησιν. εἰ οὖν ὁρᾷς, φίλη ἐμοὶ ψυχή, ἀντεχόμενον τοῦ δικαίου τὸν τὸ γράμμα σοι φέροντα, τοῖς δικαίοις ἀκολουθῶν ταχεῖαν, τοῦτο γὰρ ἡ γραφὴ δεῖται, τὴν δικαιοῦσαν ψῆφον ἐπάγαγε. εἰ δὲ παρεκβαίνοντα μὲν τῆς ἀληθείας, πλεονεκτούμενον δὲ κατὰ τοῦτο ὑπὸ τοῦ ἀντιδίκου, ἐπεὶ καὶ τοῖς νικῶσι στέργεται μὴ ἀρκεῖσθαι τῇ νίκῃ ἀλλὰ βιαιότερον ἐπικεῖσθαι τῷ ἡττημένῳ, δίδου τι αὐτὸς συνετὸς ὢν τοῖς φιλοῦσιν ἡμῖν, ὃ καὶ τὸ νικῶν οὐ λυπεῖ μέρος, καὶ τῷ ἡττημένῳ χαρίζεται.

**122(130). Θεοδοσίῳ μοναχῷ.**

Οἷς ἀπεστάλη τὰ ὑμέτερα δέδοται γράμματα. καὶ αὖθις τὰ παρ᾽ αὐτῶν
f. 232 ἀντιγραφέντα, βίᾳ μέν, ἀνείληπται δ᾽ οὖν ὅμως. | ἐπέχει γὰρ τὰ πολλὰ τῶν πραγμάτων ὁ ὄχλος. ἀπαλειφθεῖσαν μὲν οὖν τὴν μνήμην αὐτοῖς τὴν σὴν οὐκ ἦν ἰδεῖν, ἐντετυπωμένην δὲ καὶ μένουσαν ἔτι· καὶ τοῦτο ἐδήλου ἡ μετὰ περιχαρείας καὶ σπουδῆς τῶν σῶν γραμμάτων ἀνάληψις. ἀλλ᾽ ἐμφανὴς τῷ γράμματι μὴ ὢν ὁ σκοπός, δι᾽ ὃν ἡ πρὸς ἐκείνους ἀποστολὴ γέγονεν, οὐκ ἔδωκε γνώρισμά τι, ᾧ καταλαβεῖν τὸν ἐκείνων ἠδυνήθην σκοπόν. πλὴν τοῦ περιφερομένου τῷ προτέρῳ ἀνέμνησα γράμματι, καὶ ἡ αὐτὴ μετὰ τῆς αὐτῆς ἑωρᾶτο ἀπορία προθέσεως. καὶ οἶδα ὅτι ἀφορμῆς διδομένης εὐκαίρου οὐκ αὔρας φορᾷ τὸ ἑδραῖον αὐτῶν οἰχήσεται τῆς ἀγάπης. σὺ δέ, τῷ θεῷ μεμελημένη ψυχή, τῷ καθ᾽ ἑκάστην εὐχὰς ἀναφέρειν ἀταράχῳ νοῒ μεμνῆσθαι τῶν συνήθων ἀγάπα καὶ φίλων.

Σημείωσις. Ὁ διευθυντὴς τῆς Ἐπετηρίδος ἀνέγνωσε τὸ ἐκδιδόμενον κείμενον μέχρι τῆς σ. 196 καὶ ἐσημείωσεν ἄνευ τῆς ἐγκρίσεως τῶν ἐκδοτῶν αὐτοῦ. Τῇ παρακλήσει των δὲ ἀπέσχε περαιτέρω ἐπεμβάσεως.

N. B. T.

Institutional Repository - Library & Information Centre - University of Thessaly
24/04/2024 07:29:06 EEST - 18.191.255.188